# Die Akten Gregors von Armenien

neu herausgegeben

von

*Paul de Lagarde.*

*Der königlichen Gesellschaft der Wissenschaften zu Goettingen am 3 December 1887 vorgelegt.*

Die Akten Gregors von Armenien sind in lateinischer Sprache von Surius zum 30 September gedruckt worden. Um diesen Druck, der mir ohne Gewähr zu sein schien, habe ich mich nicht gekümmert.

Griechisch stehn jene Akten in J-PMignes patrologia graeca **115** (= Symeonis logothetae cognomento Metaphrastae opera omnia **2**) 943—996. Migne gab aus den zwei Pariser Handschriften 1489 und 1492 heraus, deren Beschreibung er nicht mittheilt.

Ich habe Ostern 1885, ohne damals Mignes Ausgabe zu kennen, die Akten aus drei Handschriften des Vatican kopiert, habe aber die über die Bücher gemachten Notizen verloren: meiner Erinnerung nach sind die Codices verhältnismäßig alt. Da Vater Bollig meist auf Reisen ist, und der gegen mich väterlich gütige Cardinal Pitra hochbetagt, habe ich in Rom Niemanden, den ich meinen Verlust zu ersetzen bitten könnte.

a = vaticanus 794: Blatt $251^2$ ff:
b = vaticanus 795: Blatt $216^2$ ff:
c = vaticanus 796: Blatt $379^3$ ff.

Mignes Ausgabe nenne ich m.

Wie gut ich es mit den Lesern dieser Akten im Sinne hatte, wolle man aus meinen Mittheilungen **2** 382 383 und den Onomastica sacra [2] vij ersehen: jetzt habe ich am Rande auf die Paragraphen meines Agathangelus verwiesen: die fetten Ziffern geben die von Migne beliebte Kapiteleintheilung an.

Βίος καὶ πολιτεία καὶ μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος Γρηγορίου τῆς με-
1 2 γάλης Ἀρμενίας. ‖ Τῆς τῶν Περσῶν ἀρχῆς εἰς Πάρθους διαλυθείσης, καὶ τῆς
τῶν Πάρθων ἐπικρατείας εἰς τοῦτο δυνάμεως ἀφιγμένης ὡς μὴ μόνον Περσῶν
ἄρχειν, ἀλλὰ καὶ Ἀρμενίων καὶ Ἰνδῶν τῶν προσοίκων τοῖς ἐπ᾽ ἀνατολῆς Πέρσαις,
ἔτι δὲ καὶ Μασσαγέτας μέρος ποιεῖσθαι τῆς ἐξουσίας, ἐπεὶ τὸ βάρος τῶν τοιού-
των φροντίδων εἷς ἀνέχειν οὐχ οἷός τε ἦν, τέσσαρες ἀδελφοί, Πάρθοι μὲν τὸ γέ-
νος, Ἀρσακίδαι δὲ τὴν ἐπωνυμίαν, συμμερίζονται τῶν τεσσάρων ἐθνῶν τὰς ἐπι-
κρατείας εἰς ἑαυτούς. καὶ ὁ μὲν πρῶτος τῶν ἀδελφῶν, τὴν κοινὴν κλῆσιν εἰς
ὄνομα ἐξιδιωσάμενος, Ἀρσακίδης τε ἐκαλεῖτο, καὶ τῆς τῶν Πάρθων ἀρχῆς
εἶχε τὸ κράτος, ὥσπερ τῷ χρόνῳ τῶν ἄλλων, οὕτω δὴ κἀν τοῖς ἄλλοις προέ-
χων πλεονεκτήμασιν· ὁ δὲ μετ᾽ ἐκεῖνον Περσῶν ἐβασίλευσεν· ὁ δὲ τρίτος τῶν
προειρημένων Ἰνδῶν τὴν ἀρχὴν ἐκληροῦτο· τῷ δὲ τετάρτῳ Μασσαγέται ἦσαν
τὸ ὑποχείριον. καὶ χρόνος οὐ βραχὺς τὴν εὐδαιμονίαν τοῖς Ἀρσακίδαις ἐμέτρει.
3 | Ἀρταβάνης δέ, παῖς Οὐαλάρσου, Ἀρσακίδης τε ὤν, καὶ Πάρθων ἔχων τὴν
ἐξουσίαν, περὶ τὴν ἀστροθεάμονα τῶν Χαλδαίων ἐσχόλαζε σοφίαν. καί τι συ-
νιδὼν ἐκεῖθεν, τῇ γυναικὶ κατὰ τὴν σκηνὴν συγκαθεύδων ἀνεῖπεν ὡς Ἐξ ὧν με
διδάσκουσιν οἱ τῶν ἀστέρων δρόμοι, εἴ τις ἐπανάστασιν κατὰ τοῦ οἰκείου δε-
σπότου ἐν τῷ παρόντι καιρῷ μελετήσειεν, οὐκ, ἔγωγε οἶμαι, τοῦ σκοποῦ ἐκεῖ-
2 νος καὶ τῆς ὁρμῆς ψευσθήσεται. ‖ καὶ ταῦτα εἰπὼν εἰς ὕπνον ἐτράπη. μία δὲ
τῶν ὑπηρετουμένων τῇ βασιλίδι, τῶν κατὰ γένος ἐπιφανῶν θυγάτηρ οὖσα, συ-
νήθης ἦν ἐπὶ σωμάτων ὁμιλίᾳ τινὶ τῶν τὰς πρώτας ἀρχὰς διοικούντων, ἐξ
Ἀσυρίων μὲν καταγομένῳ, καλουμένῳ δὲ Ἀρτασείρας. ὃς πολλάκις μὲν καὶ
καθ᾽ ἑαυτὸν ἀνείλιττε τὴν τυραννίδα, καὶ τοῖς πιστοτάτοις τῶν φίλων μυστικώ-
τερον ἐκοινοῦτο, ἀγαγεῖν δὲ ταύτην εἰς ἔργον ἀνεβάλλετο, φόβῳ τῳ τῆς ἀποτυ-
4 χίας. τῆς σκηνῆς οὖν αὕτη λαθραίως ὑπεξελθοῦσα, | μηνύει τὸν χρησμὸν πάν-
τα τῷ Ἀρτασείρᾳ, παροξύνει τε πρὸς τὸ ἔργον, καὶ λόγους ἀπαιτεῖ ὡς ἄν,
εἰ ἐγκρατὴς γένηται τῆς Πάρθων ἀρχῆς, κοινωνόν τε αὐτὴν ἔχοι βίου, καὶ
τὴν βασιλείαν αὐτῇ ὀνόματί τε καὶ πράγματι συμμερίζοιτο. ὁ δὲ προθύμως

1 über der Seite von erster Hand μηνὶ τῷ αὐτῷ λ. a | 1 ἱερομάρτυρος > m | 2 nach Ἀρμενίας + κύριε εὐδ̄ [= εὐόδωσον] a.c hat, nicht von erster Hand, am Rande εφῦργ, wo über ε ein ν, über ῦ ein λλ, über γ ein Acut | 4 τῶν > m | 5/6 τοσούτων m | 6 εἷς[illegible] c | 7/8 τὰς ἐπικρατείας τῶν τεσσάρων ἐθνῶν bcm | 9 ἐξιδιοσάμενος a[1] | 12 vor Ἰνδῶν + ἀνδρῶν τὴν τῶν m, der nachher τὴν fortläßt | 16 ἂν εἶπεν m | 20 nach ἐπιφανῶν + αὕτη bcm | 22 ἀσυρίων bc[1], ἀσσυρίων ac[2], Ἀσσυρίων m | 22 ἀρτασεῖρα b: ἀρτασήρας c, der η (nicht den Accent) von erster Hand auf Rasur zeigt | 24 ἐκοινοῦτο hat in c κ und die rechte Seite des ν von erster Hand auf Rasur | 26 ἀρτασήρα c, wo η (aber nicht der Accent) auf Rasur: η von erster Hand | 27 τε > m | 27 ἔχειν a

ὤμνυ τε τοὺς πατρῴους θεούς, καὶ πέρας ἐπηγγέλλετο λαβεῖν τὰ ὀμωμοσμένα
κατὰ τὴν ἀρχὴν αὐτίκα τῆς ἀναρρήσεως. | καὶ ταῦτα αἰτησαμένη, καὶ τὰ πιστὰ 5
λαβοῦσα, μετὰ σπουδῆς αὖθις εἰς τὴν βασιλικὴν σκηνήν, πολλὴν τοῦ λαθεῖν
ποιουμένη πρόνοιαν, ἀποτρέχει. ὄνομα δὲ τῷ γυναίῳ Ἀρταδούκτα.· ὁ οὖν Ἀρ-
τασείρας, εἰς νοῦν τῆς γυναικὸς τὴν ἀγγελίαν βαλόμενος, δεινῶς τῷ τῆς ἀρχῆς
ἡλίσκετο ἔρωτι. καὶ συναγαγὼν τοὺς ἐν τέλει Περσῶν τε καὶ Ἀσυρίων οἷς
μάλιστα ὡς πιστοτάτοις ἐθάρρει, καὶ κατειπὼν ἐν τοῖς λόγοις τῆς Πάρθων ἀλα-
ζονείας, τὰ ὅμοια συμβουλεύοντας καὶ αὐτοὺς εὑρίσκει· | καὶ γὰρ ηὔχοντο κἀ- 6
κεῖνοι τῆς μὲν παρθικῆς ἀπαλλαγῆναι τυραννίδος, ἐξ αἵματος δὲ οἰκείου τὴν
Περσῶν ἰδεῖν ἐξουσίαν ἰθυνομένην. ψηφίζονται γοῦν ὥσπερ τῆς βουλῆς ἡγε-
μόνα, οὕτω καὶ τῶν πράξεων αὐτοῖς γενέσθαι τὸν Ἀρτασείραν, καὶ πέμπου-
σιν ἀγγέλους πρὸς Ἀρταβάνην, | ἐκστῆναι παραινοῦντες τῆς βασιλείας χωρὶς 7
κινδύνων καὶ τῶν ἄλλως ἐκ τοῦ πολέμου συμβαινόντων κακῶν. ὁ δὲ πρὸς τὸ
οἰκεῖον ἀνενεγκὼν μάντευμα, καὶ χρόνον τὴν κεφαλὴν ἐπικλίνας, ἀπράκτους μὲν
τοὺς ἀπεσταλμένους ἐκπέμπει, ἐπαπειλεῖ δὲ ὡς, εἰ πάλιν τοιοῦτόν τι ἀπαγγελοῦντες
ἐλεύσονται, ἀπ' αὐτῶν πρώτων τὰς τῆς ὕβρεως λήψεται δίκας. Ζήκας ἦν καὶ Καρί-
νας αὐτοῖς τὰ ὀνόματα. | ‖ καὶ ὑποστρέψαντες ἀπαγγέλλουσιν Ἀρτασείρᾳ καὶ τοῖς 8 **3**
λοιποῖς, ὅσα ὁ βασιλεὺς εἶπέ τε καὶ ἠπειλήσατο. εἶτα συγκροτεῖται καὶ παρ' ἑκατέ-
ροις πόλεμος. πρὶν ἢ δὲ συρραγῆναι τοῦτον, Ἀρτασείρας πέμψας, ἄγει τὴν Ἀρτα-
δούκταν πρὸς ἑαυτόν, καὶ ταύτην ἐν ὀχυρωτάτῳ φρουρίῳ μετὰ τῆς οὐσίας αὐτοῦ
πάσης καθίστησιν. ὡς δὲ εἰς χεῖρας τῶν τε Περσῶν καὶ τῶν Πάρθων αἱ δυνάμεις
συνῆλθον, πίπτουσι μὲν ἑκατέρωθεν πλεῖστοι, ἀποβλέπει δὲ πρὸς Ἀρτασείραν ἡ
νίκη. δευτέρας δὲ συμβολῆς γενομένης, τὸ μὲν Παρθικὸν τῷ πολεμίῳ κατὰ κρά-
τος ἀνηλίσκετο ξίφει, εἰς φυγὴν δὲ καὶ αὐτὸς Ἀρταβάνης ἐχώρει. ἀναλαβὼν
δὲ πάλιν ἑαυτόν, καὶ συναγαγὼν δύναμιν, εἰς τὸ πολεμεῖν ἀνεθάρσησε. καὶ ὅλον
ἐνιαυτὸν πῆ μὲν Περσῶν, πῆ δὲ Πάρθων πολλὰ κατ' ἀλλήλων ἔργα τόλμης τε
καὶ ἐμπειρίας ἐπιδεικνυμένων, ἐπειδὴ τὸ τελευταῖον αἱ παρατάξεις ἐγγὺς ἑκα-
τέρου μέρους ἐγένοντο, φασὶν Ἀρτασείραν πρὸς Ἀρταβάνην εἰπεῖν τὸν βασι- 9
λέα, μὴ μάτην πονεῖν, καὶ φθείρειν τὰ Περσῶν τε καὶ Πάρθων γένη· τὴν γὰρ
βασιλείαν οὐκ Ἀρταβάνῃ λοιπὸν ἐθέλειν παραμένειν, ἀλλ' εἰς Ἀρτασείραν με-
ταβαίνειν. σὺ δὲ βιώσεις ἀλύπως, ἢν ἐμοὶ πείθῃ· δώσω γάρ σοι χώραν δαψιλῶς

32 ἀρταδούκτα hat in c den Acut über radiertem Circumflexe. Ἀρταδοῦκτα m | 32/33 ἀρτασήρας c: η auf Rasur von erster Hand: der Acut von erster Hand, aber es ist später an ihm nachgeholfen worden | 33 nach νοῦν ist von junger Hand in b ein τὴν eingeflickt: das folgende τὴν fehlt in b von vorne herein | 33 βαλόμενος bm, βαλλόμενος a, λαβόμενος c | 34 ἡλίσκετο a[1] | 34 ἀσυρίων abc[1], ἀσσυρίων c[2], Ἀσσυρίων m | 35 κατεῖπεν m | 39 ἀρτασήραν c, wo η auf Rasur | 40 η von ἀρταβάνην von erster Haud auf Rasur in b | 40 erstes ν von παραινοῦντες b von erster Hand auf Rasur | 41 κινδύνων bcm, κινδύνου a | 41 ἄλλων m | 43 erstes π von ἐπαπειλεῖ später auf Rasur c | 44/45 καρήνασ a | 45 ει von ἀρτασείρᾳ auf Rasur c | 46/47 ἑκατέροις bcm, ἐκείνοισ a | 47/48 ἀρταδοῦκταν [so] hat in b δοῦκ von erster Hand auf Rasur | 48 ἐνεχυρωτάτω als Ein Wort c, ἐν ἰσχυροτάτῳ m | 49 τε > a | 50 ἀπέβλεψε m | 50 hinter πρὸς + τὸν m | 53 ἑαυτὸν bcm, ἀυτὸν a | 53 η von ἀνεθάρσησε unterm Schreiben aus ι a | 54 das erste Mal πῆ◣ b | 55 letztes ν von ἐπιδεικνυμένων von erster Hand auf Rasur b | 57 πονεῖν bcm, ποιεῖν a

τὰ πρὸς τὴν χρείαν πάντα παρέχουσαν. δεῖ δὲ μὴ διδάσκαλον ἄλλον, ἀλλὰ σεαυτὸν τοῦ συμφέροντος ποιεῖσθαι, καὶ τοῦ χρησμοῦ μνημονεύειν ὅν ποτε κατὰ τὴν
4 σκηνὴν ἀνεῖπες τῇ βασιλίδι. ἀλλὰ ταῦτα μὲν Ἀρτασείρας. ‖ Ἀρταβάνης δὲ πρός τινας τῶν οἰκείων πρότερον ἀποβλέψας, Ὡς χαλεπόν, ἔφη, γυνή· καὶ τὸ τῆς συζυγίας φίλτρον βλάψειε μᾶλλον ἢ ὠφελήσειε. ταῦτα εἰπών, ἐν ὀργῇ τινὰ τῶν δορυφόρων κελεύει διαβάντα ἀνελεῖν τὴν βασιλίδα· ταύτην γὰρ ᾤετο προδότιν τοῦ χρησμοῦ γεγενῆσθαι. ἐπιστραφεὶς δὲ πρὸς Ἀρτασείραν, θανεῖν, ἀπεκρίνατο, πολὺ ἂν αὐτῷ μᾶλλον αἱρετώτερον εἴη ἤ, δούλῳ γε ὄντι τῷ Ἀρτασείρᾳ, τῆς βασιλείας παραχωρῆσαι. καὶ ἅμα τοῖς λόγοις κατὰ Περσῶν ἐφορμᾷ παράβακχόν τι καὶ μανικόν, καὶ πολλοὺς μὲν αὐτῶν τιτρώσκει, καταβάλλει δὲ πλείους, ἰθύνει δὲ καὶ πρὸς τὸν Ἀρτασείραν τὸ δόρυ. ὁ δὲ (χεῖρας γὰρ εἶχε τοξεύειν ἀγαθάς, καὶ περὶ τοῦτο εὖ μάλα φιλοτίμως ἀεὶ πονουμένας) ὑποκρίνεται μὲν τὴν φυγήν, πέμπει δὲ διωκόμενος τὸ βέλος κατὰ τὰ στέρνα παρὰ τὸν μαζὸν τοῦ διώκοντος. καὶ τῇ ῥώμῃ τοῦ βαλόντος ἀνυπόστατον γεγονός, τόν τε θώρακα ῥήγνυσι τοῦ Ἀρταβάνου, καὶ διελάσαν τὰ στέρνα, τῶν νώτων διεκπίπτει, καὶ νεκρὸν αὐτίκα δεικνύει τὸν Ἀρταβάνην. εἰς ὁμολογίαν δὲ τὸ Παρθικὸν εὐθὺς καὶ Περσικὸν συνελθόντες, Ἀρτασείραν ἀναγορεύουσι βασιλέα, πολὺ τὸ πρὸς αὐτοὺς δεικνύντα κηδεμονικὸν καὶ φιλάνθρωπον. καὶ ὁ μέν, οὕτως ἔχων, τὴν Ἀρταδούκταν ἄγεται γυναῖκα, ἣν αὐτῷ καὶ πρότερον οἱ ὅρκοι κατηγγυήσαντο, καὶ βασιλίδα ταύτην χειροτονεῖ,
5 10 | ‖ Κουσαρῶ δὲ ὁ ἀδελφὸς Ἀρταβάνου, τὴν βασιλείαν ἔχων τῆς μεγάλης Ἀρμενίας, τὰ συνενεχθέντα μαθών, καὶ ὡς ἡ Πάρθων ἀρχὴ μετέπεσεν εἰς Πέρσας, ἐν μεγάλῃ λύπῃ ταῦτ᾽ ἐποιεῖτο, καὶ στρατείαν ἐξ Ἀλβανῶν τε καὶ Ἰβήρων, προσέτι δὲ καὶ διαφόρων Οὔννων ἰσχυρὰν συναγείρας, ἐπ᾽ ἐνιαυτὸν
11 ὅλον τὰ τοῦ πολέμου συνεσκευάζετο. | πολλὴν δὲ χεῖρα μεθ᾽ ἑαυτοῦ ἄγων, ἐκστρατεύει κατὰ Περσῶν καὶ αὐτοῦ Ἀρτασείρα. καὶ ὁ τὴν Περσῶν βασιλείαν ἄρτι περιβεβλημένος Ἀρτασείρας ἀντιπαρατάσσεται καὶ ἄκων τῷ βασιλεῖ Ἀρμενίας. καὶ γίνεται κατὰ τὴν μάχην πολὺς τοῦ Περσικοῦ φόνος, φεύγει δὲ καὶ Ἀρτασείρας. καὶ ἐπελαύνουσιν οἱ πολέμιοι, καὶ τὴν Περσίδα γῆν τοῖς σώμασι τῶν ἀναιρουμένων κατακαλύπτουσι, καὶ πολλοὺς δορυαλώτους λαβόντες, καὶ λείαν πολλὴν ἐλάσαντες, εἰς τὴν Ἀρμενίαν ἅμα βασιλεῖ τῷ ἰδίῳ, πλούτῳ βρι-
12 θούσαις δεξιαῖς ἐπανήκουσι. | τοῦ δὲ ἐπιγενομένου ἐνιαυτοῦ καὶ αὖθις τῷ Ἀρμενίας βασιλεῖ κατατρέχοντι τὴν Συρίαν τὸ Σαρακηνῶν ἔθνος εἰς συμμαχίαν προστίθενται. καὶ ληϊσάμενος τὴν Περσῶν τε καὶ Ἀσυρίων γῆν, καὶ τὰ ἐν αὐτῇ πάντα σκυλεύσας, μετὰ τῆς ἴσης νίκης εἰς τὴν ἰδίαν ἀρχὴν ἐπανήκει πάλιν, καὶ τούτοις τοῖς κατορθώμασι καὶ ταῖς ἀνδραγαθίαις θαυμαζόμενος μὲν ὑπὸ τῶν συμμάχων, καταπλήττων δὲ τοὺς πολεμίους ἐπὶ δέκα διετέλεσεν ἔτη. δι᾽ ὃ καὶ

63 ἐπιβλέψας a | 65 ᾤετο c | 65 προδότην a[1], προδό.. τϊ b mit jüngerem ν über der Zeile zu ϊ | 69 τὸν > b | 70 εἶχεν a[1] | 70 ουμένα von πονουμένας von erster Hand auf Rasur c | 75 δὲ in b später eingeflickt | 75 εὐθὺς τὸ παρθικὸν a | 76 πολὺ.. b | 77 ἀρταδοῦκταν bc[1], ἀρτωδούκταν a[1]c[2] | 88 δοριαλώτους ac | 88/89 καὶ λείαν πολλὴν ἐλάσαντες > a | 89 nach ἅμα + τῷ m | 90 ἐπιγινομένου c | 90 nach τῷ + τῆς b | 92 ἀσσυρίων a, Ἀσσυρίων m

ὁ τῶν Περσῶν βασιλεὺς λύπῃ μὲν ἀπαρακλήτῳ ἐχόμενος, ἀπορίᾳ δὲ τοῦ τί ἂν πράξειε, τὴν λύπην αὔξων, τοὺς ὑπὸ χεῖρα συναγαγών, συμβουλεύειν ἐδεῖτο πῶς ἂν ἀποδύσωνται μὲν τὴν ἀδοξίαν, ἀπολίπωσι δὲ αὐτοὺς αἱ κοιναὶ καὶ πολύτροποι συμφοραί. καὶ τῷ γνώμην εἰσενεγκόντι τοιαύτην τὴν δευτέραν μετὰ βασιλέα τιμὴν τίθησιν ἆθλον. | Ἀνὰκ δέ τις, Κουσαρῶ κατὰ γένος τῷ τῆς Ἀρμενίας βα- 13
σιλεῖ προσήκων, ἀναστὰς ἐκ τοῦ συλλόγου, γενναῖόν τι δράσειν ὑπέσχετο δι' οὗ τὰ πράγματά τε πρὸς τὸ ἄμεινον ἀνενεχθήσεται Πέρσαις, καὶ δίκας τοὺς ἐναντίους εἰσπράξονται. || καὶ ὑπολαβὼν Ἀρτασείρας Ἦ μὴν ταῦτα καταπραξα- 6
μένῳ καὶ διάδημα τῇ κεφαλῇ παραχρῆμα περιθήσω σοι, ἔφη, καὶ δεύτερον μὲν τῆς Περσῶν ἀποδείξαιμι βασιλείας, βασιλείαν γε μὴν τὴν παρθικὴν ἐγχειρίσω σοι. ὁ δὲ τὰ καθ' ἑαυτὸν μὲν ἐν ἀδήλῳ κεῖσθαι τῷ πέρατι ἔφη, τέως γε μήν, εἴ τι δὴ καὶ τῶν ἀδοκήτων αὐτῷ συμβαίη, τοῖς ὑπολειφθησομένοις τοῦ γένους μὴ ἀχάριστον γενέσθαι τὸν Ἀρτασείραν ἠξίου, ἀλλὰ διαμνημονεῦσαι μὲν αὐτῷ τῆς ὑπὲρ αὐτοῦ προθυμίας, χάριτας δε τούτοις ὑπὲρ αὐτῆς ἀποδοῦναι. ταῦτα εἰπών, τὸν ἀδελφόν τε συνεργὸν παραλαμβάνει, καὶ ἐν αὐτομόλου σχήματι, γυναιξὶν ἅμα καὶ παιδίοις καὶ ὅλῳ οἴκῳ καὶ τοῖς οἰκείοις πᾶσι, τῷ τῆς Ἀρμενίας προσχωρεῖ βασιλεῖ. | καὶ ὃς τῇ τε ἄλλῃ αὐτοὺς ὑποδέχεται φιλοτι- 14
μίᾳ, καὶ δεξιῶς τὰ μάλιστα κατασπάζεται. οἱ δὲ θωπείαις αὐτὸν ὑπελθόντες, ὅλον οἰκειοῦνται, καὶ οὐδὲν ὕποπτον ἐπ' αὐτοῖς ἔχειν παρασκευάζουσι, καὶ μάλισθ' ὅτι γυναιξὶν ἅμα καὶ τοῖς φιλτάτοις ἦσαν παρ' ἐκεῖνον αὐτομολήσαντες. ἀμέλει καὶ τιμὴν ὁ Ἀνὰκ δευτέραν τὴν μετὰ βασιλέα λαμβάνει. ὁ μὲν οὖν χειμὼν ἐν πολλῇ τοὺς Ἀρμενίους διανέπαυε τῇ ῥαστώνῃ, καὶ τὸ ἔαρ αὐτοῖς παραπλησίους ἐν τῇ οἰκείᾳ τὰς ἡδονὰς ἐχαρίζετο. τοῦ δὲ θέρους ὁ νότος πνέων θερμόν, μετοικεῖν τὸν βασιλέα ἐπὶ τὰ Ἀραρὰτ ἠνάγκαζε μετὰ τῶν ἐν τέλει, ὅπου καὶ κατὰ θέρος ὥσπερ ἐν ἐαρινῷ θάλπει καὶ ψύχει διῆγον. ἐνταῦθα διατρίβων ὁ βασιλεύς, κατὰ τῆς Περσίδος ἐκινεῖτο πάλιν. ὁ δὲ Ἀνάκ, τῶν τε τοῦ Ἀρτασείρα ὅρκων εἰς μνήμην ἐλθών, καὶ τῷ τῶν δωρεῶν ἀναφλεγεὶς ἔρωτι, | ἰδιολογήσασθαι τῷ βασιλεῖ Ἀρμενίας ἅμα τῷ ἀδελφῷ προ- 15
φασισάμενοι ἀναγκαίων τινῶν πραγμάτων πέρι, καὶ μόνοι πρὸς μόνον εἰσελθόντες, μαχαίραις αὐτὸν ἀναιροῦσι. καὶ τῆς φήμης τῷ στρατοπέδῳ μηνυούσης τὸν φόνον, τοῖς ἵπποις ἐπιβάντες οὗτοι, φεύγουσιν ἀνὰ κράτος. || οἱ γοῦν σατράπαι 7
τῆς Ἀρμενίας λόχοις καὶ λοχαγοῖς τῶν διεξόδων τὰς πλείους διειληφότες, προκαταλαβεῖν αὐτῶν τὴν φυγὴν ἐκ παντὸς τρόπου διενοοῦντο· ὅθεν οὐδὲ εἰς μάτην αὐτοῖς ἐχώρησεν ἡ σπουδή, ἀλλὰ φεύγοντας τούτους κατὰ γέφυράν τινα μέσην ἀπολαβόντες, ὑποβρυχίους τῷ ποταμῷ ἔδοσαν. καὶ τῶν διωκόντων ὑποστρεφάν-

98 ἀποδύσωνται unterm Schreiben aus ἀποδύσονται a | 100 κατὰ γένος κουσαρῶ a | 100 τῆς > a | 3 μὴ m | 4 nach ἔφη in c jetzt $1^3/_4$ Zeilen durch Rasur leer: es scheinen die nächsten fünf Worte irrthümlich zweimal geschrieben, und das erste Mal ausgekratzt worden zu sein | 8 διαμνημονεύσας m | 14 αὐτοὺς a, αὐτῆς m | 18 παραπλησίους von erster Hand aus παραπλησίως b | 18 οἰκίᾳ m | 19 θερμὸς m | 19 ἀνάγκαζε m | 21 διατρίβων acm, διάγων b (wo α jünger auf Rasur: γ scheint jünger: am ω ist radiert) | 23 ἀναφλεχθεὶς a | 23 ἰδιολογίσασθαι m | 24 πέρι hier bcm, als περὶ vor ἀναγκαίων a | 30 ἔδωσαν c[1]

των. γίνεται τῆς γενεᾶς φόνος ἁπάσης, αὐτοῦ τε τοῦ Ἀνὰκ καὶ τοῦ ἀδελφοῦ,
τελευταῖον τοῦτο ἔπος τοῦ Ἀρμενίων βασιλέως ἐν ἐσχάταις πνοαῖς ἐπισκήψαντος,
τὴν παντελῆ τοῦ γένους τῶν ἀνελόντων ἀπώλειαν. καὶ οὕτω μὲν ἀπώλοντο πάν-
τες πλὴν δύο τινῶν τοῦ Ἀνὰκ παίδων, καὶ τούτων κομιδῇ νηπίων, καὶ ἐν σπαρ-
γάνοις ἔτι καὶ γάλαξιν ὄντων, οὓς τῶν προσηκόντων τις ὑφελόμενος, τὸν μὲν ἐν τοῖς
τῆς Περσίδος μέρεσι, τὸν δὲ ἐν τῇ ῥωμαϊκῇ ὑπεξέθετο ἐπικρατείᾳ. Γρηγόριος ὁ θεῖος
οὗτος ἦν, οὗ τοὺς λαμπροὺς ὑπὲρ εὐσεβείας ἀγῶνας ὁ λόγος ἀπ' ἀρχῆς εἰπεῖν
16 ὥρμηται. | τοῦ δὲ Ἀρμενίων βασιλέως ὃν εἴρηται τρόπον ἀνῃρημένου, τῷ εὐτυχή-
ματι ἐπαρθεὶς ὁ Πέρσης, τεταραγμένοις ἐπιστρατεύει τοῖς Ἀρμενίοις, καὶ πολλὴν
περιβαλόμενος λείαν, καὶ δορυαλώτους ὅ,τι πλείστους λαβών, εἰς τὴν οἰκείαν
λαμπρῶς ἐπανῆκεν αὖθις. εὑρὼν δὲ ἐν τοῖς αἰχμαλώτοις ἕνα τῶν υἱῶν Κου-
σαρῶ, Τηριδάτην ὄνομα, οὐκ ἀναιρεῖ μὲν αὐτὸν διὰ τὸ ἁπαλὸν ἔτι τῆς ἡλικί-
ας, εἰς δὲ τὰ τῶν Ῥωμαίων ἤθη φυγαδεύει. οὗτός ἐστι Τηριδάτης, ὁ καὶ τὴν Ἀρ-
μενίων ἀρχὴν χρόνῳ ὕστερον ῥωμαϊκῇ συμμαχίᾳ καὶ ψήφῳ κατακτησάμενος
καὶ ἀπολαβών, καὶ τὸν μέγαν Γρηγόριον βασάνοις ἀμυθήτοις ὑποβαλών, καὶ μὴ
μόνον μὴ ἀποστήσας τοῦτον τῆς εὐσεβείας, ἀλλὰ καὶ αὐτὸς δήπου τῇ τε τοῦ
ἀνδρὸς ὑπερφυεῖ καρτερίᾳ καὶ τῇ ἐκ θείας προνοίας ἄνωθεν μάστιγι πρὸς
τὴν ἐκείνου πίστιν μεταβαλών. ἀλλὰ ταῦτα μὲν κατὰ μέρος προϊὼν ὁ λόγος
8 δηλώσει. || Ἀρτασείρας δ' οὖν τότε, ὁ τῶν Περσῶν βασιλεύς, μέρος τῆς ἰδίας ἀρ-
17 χῆς καὶ τὴν Ἀρμενίαν αὐτὴν ἐποιήσατο. | ὁ δὲ τοῦ Ἀνὰκ παῖς, τοῦ τὸν Κουσαρῶ
ἀνελόντος, ἅμα τῷ ἀδελφῷ Γρηγορίῳ ἐν πόλει Καισαρείας τῆς Καππαδοκίας
διάγων, παιδείαν τε τὴν ἄλλην ἐμάνθανε, καὶ τὰ Χριστιανῶν φιλοπόνως ἠσκεῖτο.
Τηριδάτης τοίνυν, οἷα δὴ βασιλικοῦ αἵματος ὤν, τοῖς ἐν τέλει συνηριθμεῖτο Ῥω-
μαίων. οὐκ ἀγνοῶν οὖν ὁ Γρηγόριος ἅ τε ὁ τούτου πατὴρ Ἀνὰκ διεπράξατο,
καὶ ἃ ὁ Τηριδάτου πατὴρ παρ' αὐτοῦ πέπονθεν, ἀνέκφορα δὲ ὅμως παρ' ἑαυ-
τῷ κατέχων, πρόσεισι τῷ Τηριδάτῃ, εἰς ἑκούσιον ἑαυτὸν ὑπηρεσίαν ἐγχειρίζων.
καὶ ἦν ἀπροφάσιστον ἐν πᾶσι τῷ Τηριδάτῃ καὶ πιστὴν ἀποδιδοὺς τὴν ὑπη-
ρεσίαν. μαθὼν δὲ ὅτι τὰ Χριστιανῶν θρησκεύει Γρηγόριος, ἐδυσχέραινέ τε
18 οὗτος ὁ Τηριδάτης, καὶ εἰ μηδὲν ἤνυεν, ὅμως ἐπιτιμῶν οὐκ ἀνίει. | Γότθοι
δὲ κατ' ἐκεῖνο καιροῦ τὰ Ῥωμαίων χωρία ἐδῄουν τε καὶ ἠνδραποδίζοντο.
καὶ ὁ Ῥωμαίοις δὲ τότε τὴν βασιλείαν διέπων διανίστατο καὶ αὐτὸς παντὶ
σθένει. καὶ τὰ εἰς τὸν πόλεμον μετὰ τῶν ὑπὸ χεῖρα ηὐτρέπιστο, καὶ ἀμυνεῖ-
σθαι Γότθους συνεσκευάζετο. ἔνθεν τοι καὶ ἀντιστρατοπεδευσαμένων ἐκ τοῦ
ἐναντίου ἀλλήλοις, καὶ τὴν στρατιὰν ἑκατέραν διαταξάντων, καὶ εἰς χεῖρας ὅσον

31 φόνωσ b[1] | 35 τῶν von erster Hand auf Rasur c | 36 ν von τὸν von erster Hand später c | 36 ἐπικρατε von ἐπικρατείᾳ von erster Hand auf Rasur b | 36 ὁ θεῖος > a | 37 ἀγῶνας ὑπὲρ εὐσεβείας a | 40 περιβαλλόμενοσ b | 40 δοριαλώτουσ ac | 41/42 κουρσαρῶ a | 42/43 ἁπαλὸν ἔτι τῆς ἡλικίας, εἰς δὲ τὰ τῶν > m | 43 τῶν > a | 45 beide Male ὑπολαβὼν m | 47 καρτερία ac, καρτερία b | 50 κουρσαρῶ a | 51 erstes ν von ἀνελόντοσ, von erster Hand, auf Rasur b | 53 δὴ > a | 55 πατὴρ > abcm [fiel wegen des folgenden παρ' aus] | 55 ἀμέκφορα b[1] | 57 τὴν > m | 60 ἐδίουν b[1], ἐδηίουν c | 62 ηὐτρεπίζετο m | 63 καὶ > m | 63 ἀντὶ στρατοπεδευσαμένων m | 64 ἑκατέρων a

οὐδέπω ἰόντων, ὁ τῶν Γότθων ἀρχηγὸς εἰς μονομαχίαν προεκαλεῖτο τὸν βα-
σιλέα Ῥωμαίων. ὁ δὲ (οὐδὲ γὰρ οἷός τε ἦν χερσὶν οἰκείαις καταβαλεῖν τὸν
ἀντίπαλον) τίς ἂν ἐκεῖνον, ὑποκριθεὶς τῷ Γότθῳ, προσβάλοι, ἐκ τῶν παρ' ἑαυ-
τῷ ἐπεζήτει. | ‖ Λικιννιανὸς δέ τις, ἀνὴρ τῶν ἐν στρατηγίαις ἐξεταζομένων 20 9
τὸ τηνικαῦτα, θαρρεῖν ὑποτίθεται τῷ βασιλεῖ· εἶναι γὰρ πάλαι τῶν παρ' αὐτῷ
στρατευομένων τινά, Τηριδάτην ἐκεῖνον τὸν εἰς τὸ βασιλικὸν τῆς Ἀρμενίας ἀνα-
φέροντα αἷμα, ἄνδρα δυνάμει καὶ χερσὶν ἄμαχον, καὶ πολλὴν ἐν πολλοῖς δε-
δωκότα πεῖραν τῆς αὐτοῦ γενναιότητος. οὗτος καὶ νῦν παρὰ τῷ παλατίῳ
διατρίβει, φησίν. ἄγεται γοῦν Τηριδάτης εἰς μέσον, καὶ τὴν βασιλικὴν αὐτῷ
περιτίθησιν ὁ βασιλεὺς ἁλουργίδα καὶ τὰ τῆς ἀρχῆς παράσημα πάντα, ὡς ἂν
δοκοίη καὶ βασιλεὺς εἶναι ὁ τὴν μονομαχίαν πρὸς τὸν βάρβαρον ἀναιρούμενος.
καταστάντες οὖν εἰς μάχην ὅ τε τὸν βασιλέα Ῥωμαίων ὑποκρινόμενος Τηρι-
δάτης καὶ αὐτὸς ὁ τῶν Γότθων ἀρχηγός, παρὰ τοσοῦτον Τηριδάτης ἐκράτησε
τοῦ βαρβάρου ὡς μηδὲ ξίφος ἐπ' αὐτὸν σπάσασθαι μηδὲ δόρυ κινῆσαι, ἀλλ'
ἁρπάσαι τε τοῦτον ταῖς χερσὶ ῥᾷον, καὶ αὐτῷ βασιλεῖ παραστῆσαι ζῶντα. | ἔνθεν 21
τοι οὐδὲ ἀναξίων παρ' αὐτοῦ τυγχάνει τῶν ἄθλων· χρήμασί τε γὰρ αὐτὸν φι-
λοφρονεῖται πολλοῖς, καὶ πορφυρίδα περιβάλλει, καὶ βασιλικῷ τὴν κεφαλὴν
ἐπικοσμεῖ διαδήματι, καὶ εἰς τὴν πατρῴαν ἀρχὴν ἀποκαθίστησι τὸν Τηριδά-
την. τὸ μέντοι Γοτθικόν, παραλόγου τῆς τύχης οὕτω πειραθέντες, καὶ συλ-
ληφθέντα τὸν ἀρχηγὸν ἐκ τοῦ αἰφνιδίου ἰδόντες, διεσκέδαστό τε ἅπαν, καὶ
ὀλίγοι πρὸς τὴν οἰκείαν ἐπανῆκον, τῆς συμφορᾶς ἄγγελοι. ὅ γε μὴν Ῥωμαίων
βασιλεὺς μετὰ λαμπρῶν τῶν τροπαίων εὐδαιμονέστατα ἀνεζεύγνυ. ‖ Τηριδάτης δὲ **10**
τὸ ἑξῆς Ἀρμενίας βασιλεύων, τῆς πατρίου μᾶλλον εἴχετο δεισιδαιμονίας, ἄλ-
λοις τε θύων εἰδώλοις, καὶ δὴ καὶ Ἀρτέμιδι, ἣν ἐτίμα τε διαφερόντως, καὶ
φίλην ἡγεῖτο θεόν. ἐβούλετο μὲν οὖν τῆς θυσίας κοινωνεῖν αὐτῷ καὶ τὸν
ἱερὸν Γρηγόριον· τῇδε γὰρ τῷ Τηριδάτῃ καὶ αὐτὸς εἵπετο. ὁ δὲ οὐκ ἠνεί-
χετο. | Τηριδάτης τοίνυν πολλὴν αὐτῷ τῆς τε ἄλλης ὑπηρεσίας, καὶ δὴ καὶ τῆς 22
τῶν ὅλων κοινωνίας χάριν ὁμολογῶν, μηδὲ τὸ σέβας ἐκέλευε διαφέρεσθαι. ὁ
μέντοι θεῖος Γρηγόριος Τὰς μὲν σωματικάς, φησί, λειτουργίας, ὅσαι μὴ ψυ-
χὴν διαφθείρουσιν, εὐνοίᾳ καὶ φιλίᾳ τῶν δεσποτῶν ὁ κοινὸς ἡμᾶς δεσπότης
ὑπηρετεῖσθαι διδάσκει, καὶ πρὸς ταύτας οὐδέποτέ σοι οὔτε ἀσχολίαν προεφα-
σισάμεθα, οὔτε ῥαθύμως ὑπηρετήσαμεν· ὅσα δὲ πρὸς αὐτὴν φέρει τὸν κίνδυ-
νον τὴν ψυχήν, καὶ τοῦ δημιουργοῦ πόρρω ποιεῖ, τούτων οὐκ ἂν ὁ πεπαιδευ-
μένος ἑτέρῳ κοινωνῆσαι ἀνάσχοιτο, κἂν δεσπότης ὁ ἐπὶ ταῦτα παρακαλῶν εἴη,
κἂν βασιλεύς, κἂν εἰ καὶ τῆς ζωῆς αὐτῆς κύριος. ταῦτα ἐπειδὴ μακρὸν ἀπέ-
τεινε λόγον ὁ ἱερὸς Γρηγόριος, θυμοῦ τε ὑπερεπίμπλατο Τηριδάτης, καὶ ὀξύ-

65 γότθον b[1] | 65 προσεκαλεῖτο a | 66 οὐ m | 67 προσβάλλοι cm | 68 nach ἐν + ταῖς a | 73 φησίν in abc durch Sigel geschrieben, φησὶν m | 76 ὅ[illegible]τε b | 77 ἐκράτησεν a | 79 τῇ χειρὶ a | 82 πατρωίαν c | 84 ἰδόντες b später am Rande | 85 οἰκίαν b[1] | 86 τῶν > m | 87 πατρώου a, πατρῴας m | 88 θύειν m | 89 κοινωνεῖ εαυτῶ b[1] ? ? | 90/91 ὁ δὲ οὐκ ἠνείχετο b von erster Hand am Rande | 92 ὅ[illegible][illegible]λων b | 92 μηδὲ τὸ σέβας ἐκέλευε διαφέρεσθαι > m | 93 λειτουργίας > b | 95 οὐδέποτε abc, οὐ Δεσπότης m | 100 ὑπερεπίπλατο b

29 τατα κατ᾽ αὐτοῦ ἐκινεῖτο. | καὶ δέδεται μὲν εὐθὺς ὁ γεννάδας ἐξ αὐτῶν ἀγ-
κώνων ὀπίσω τὼ χεῖρε, εἶτα ξύλον τῷ στόματι τούτου ἐμβαλόντες, κατ᾽ ἄκραν
ἀπόστασιν τὴν ἄνω τῆς κάτω γένυος διϊστῶσι, καὶ βώλους ἐπὶ τῶν ὤμων αὐ-
τοῦ τοῦ παρὰ τοῖς Ἀρμενίοις ὀρυκτοῦ ἐπιφορτίζουσιν ἅλατος. ἔπειτα σχοί-
νους τοῦ ἱεροῦ ἐκδήσαντες σώματος, καὶ τοῦτον μετεωρίσαντες, εἰς ἑπτὰ ὅλας
ἡμέρας τὴν πικρὰν ταύτην αὐτῷ παρατείνουσι τιμωρίαν. μετὰ δὲ τὴν ἑβδό-
μην καταγαγὼν αὐτὸν ἐκεῖθεν ὁ βασιλεὺς ἐπυνθάνετο εἰ τὸ βέλτιον μεταμαθών,
τῆς προτέρας τε μετέβαλε δόξης, καὶ τοῖς θεοῖς ἔγνω θυσίαν προσενεγκεῖν.
ἐπειδὴ δὲ ζήλου μᾶλλον ὑπὲρ τῆς εὐσεβείας πνέοντα εἶδε, δευτέραις αὐτὸν δί-
31 δωσι βασάνοις μηδέν τι τῶν προτέρων φιλανθρωποτέραις. | κρεμάννυσι γοῦν αὐ-
τὸν κατὰ κεφαλῆς, θατέρου τοῖν ποδοῖν ἐξαρτήσας. καὶ οὐδὲ μέχρι τούτου
48 ἵσταται, | ἀλλὰ καὶ δέκα δημίους, ῥάβδους διὰ χειρὸς ἁδρὰς ἔχοντας, αὐτὸν πέ-
ρι ἵστησι, καὶ κόπρον κάτωθεν ὑποστρώσας, πῦρ κατ᾽ αὐτῆς ἐμβάλλει, ὡς ὁμοῦ
τε ταῖς ῥάβδοις τὸν μάρτυρα παίεσθαι, καὶ τὸν δυσώδη καπνὸν κατὰ τῶν
ῥινῶν ὑποδέχεσθαι, ἵν᾽ εἰ καὶ δασὺ τὸ ἆσθμα καὶ συνεχὲς προχέειν ὑπὸ τῶν
πληγῶν ἀναγκάζοιτο, ἀλλ᾽ ὁ καπνὸς ἀποτειχίζοι τοῦτο καὶ ἀποφράττοι, μηδὲ
ἀναπνεῖν τὸν ἀέρα παραχωρῶν, ἀλλὰ τὸ λιγνυῶδες ἐκεῖνο τῆς κόπρου κατὰ τῶν
σπλάγχνων αὐτῷ καθιείς. οἶδ᾽ ὅτι καὶ πρὸς τὴν ἀκοὴν μόνην οἱ παρόντες ἰλιγ-
γιάσατε. ἀλλ᾽ ἐκεῖνος οὐ γενναίως ἔφερε μόνον, ἀλλὰ καὶ πολλὴν τῷ δεσπότῃ
τὴν εὐχαριστίαν ἀνέπεμπε, πολλά τε περὶ θεοῦ τοῖς παροῦσιν ἐφθέγγετο, καὶ
τὴν εὐσέβειαν αὐτοῖς παρεδείκνυ, εἰ καὶ μὴ τελέως συνίεσαν. ἐφ᾽ οἷς καὶ
τὸν πρῶτον ἄνθρωπον κατῳκτίζετο διὰ τὴν ἐντολήν, διὰ τὴν παράβασιν, διὰ
τὴν ἐπὶ τῇ παραβάσει τοῦ πλάσαντος καταδίκην. εἶθ᾽ ἑξῆς τὰ ἀγαθὰ ἀπηρι-
θμεῖτο ὧν, ἀθετήσαντες τὴν ἐντολήν, ἑαυτοὺς ἀπεκλείσαμεν. καὶ αὖθις ἐμέμνητο
καὶ τῶν λυπηρῶν ὅσα μετὰ τὴν ἐκείνων ἀποτυχίαν (οἴμοι) κατέλαβεν ἀθλίως
ἡμᾶς. ἐπὶ τούτοις τὰ τῆς φιλανθρωπίας ἐπῆγεν, ὅπως τῆς ἡμετέρας φροντί-
ζων ὁ δημιουργὸς σωτηρίας, διδασκάλους ἡμῖν ἀπέστειλε καὶ προφήτας, τὴν τοῦ
μονογενοῦς κηρύττοντας σάρκωσιν. ἔπειτα καὶ τὴν ἐκείνου κάθοδον καὶ τὰ ὑ-
πὲρ ἡμῶν τῶν ἀχαρίστων παθήματα, τὰ ῥαπίσματα, τὸν σταυρόν, τὴν λόγχην,
τὸν ἑκούσιον θάνατον, τέλος τὴν ἐπανόρθωσιν ἡμῶν, τὴν ἀνάκλησιν, τὴν εἰς
τὸ πρῶτον ἀγαθὸν ἐπάνοδον, μετὰ ταῦτα τὴν ἐκδεχομένην τοὺς ἀξίους τῶν
οὐρανῶν βασιλείαν, τὴν ἀποκειμένην τοῖς φαύλοις βάσανον, τὸ μὴ σβεννύμενον
πῦρ, τὸ μὴ λῆγον σκότος, τὸν ἀθάνατον σκώληκα καὶ ὅσην ἄλλην οἱ τῆς ἁ-
**11** μαρτίας δοῦλοι κόλασιν ἑαυτοῖς ἐθησαύρισαν. || ταῦτα διεξελθών, καὶ ἀπερίτρεπτον
ἑαυτῷ ἐπευξάμενος καὶ ἀκλινῆ τὴν ὁμολογίαν, ὁ μὲν τέλος ἐπέθηκε τῇ εὐχῇ,
45 | τῶν δὲ περιεστώτων τινὲς γραφῇ τὰ ὑπ᾽ ἐκείνου εἰρημένα διαλαβόντες, ἀναφέ-
ρουσιν εὐθὺς ὡς τὸν βασιλέα. τῷ μὲν οὖν Γρηγορίῳ τοῦ ποδὸς ἀπῃωρημένῳ

1 ἐμβαλόντεσ τούτου b | 3 διϊστᾶσι c | 3 ω von βώλους unterm Schreiben aus α b, βόλουσ c | 3/4 αὐτῷ cm | 7 ἐκεῖθεν αὐτὸν c | 7 εἰ b | 9 τῆς > m | 12 ἀδρὰσ ac mit radiertem Gravis, ἄνδρας bm | 12 αὐτῷ a | 12/13 περιΐστησι abcm | 13 κάτοθεν a[1] | 17 τὸ > a | 17 ἐκεῖνο b | 18 μόνην > m | 21 συνίεισαν a | 26 ἐπήγαγεν m | 26/27 ζων von φροντίζων b jünger auf Rasur | 27 δημιουργὸς bcm, θεὸς a | 34 διελθὼν a | 37 ὡς bcm, πρὸς a | 37 ἀπηωρημμένου b[1]

ἕβδομος ἡμερῶν ἀριθμὸς ἠνύετο πάλιν, ὁ δὲ καὶ αὖθις καταγαγών, πεπεῖ-
σθαι μὲν αὐτὸν ᾤετο, τῆς κολάσεως ἡττηθέντα, ἐπειδὴ δὲ εἶδε πρόθυμον ὄντα
τῆς ψυχῆς ἀποστῆναι μᾶλλον ἢ τῆς εἰς Χριστὸν πίστεως, βαρύτερον ἀνταγω-
νιστὴν ἑαυτὸν παρασκευάζει τῷ μάρτυρι, καὶ πρὸς ἑτέρων βασάνων ἐπινοίας
χωρεῖ, οὐδεμίαν ὑπερβολὴν ἀπολειπούσας ὠμότητος. | καὶ σανίσι τὰ ἀντικνήμια 47
τούτου περιλαβών, εἶτα σχοίνῳ ταύτας ἰσχυρῶς διασφίγξας, οὕτως ἐκπιέζει
ὡς καὶ αὐτῶν δήπου τῶν ἄκρων τοῦ ποδὸς δακτύλων σταγόνας αἵματος ἀπο-
στάξαι. ὀψὲ τοίνυν τῆς κακώσεως ἐκείνης τοὺς πόδας ἐξαγαγών, σιδηροῦς
κατὰ τῶν πελμάτων ἐμπήγνυσιν ἥλους, καὶ τρέχειν τὸν ἀθλητὴν ἀναγκάζει,
πολλῷ τὸ ὑποκείμενον ἔδαφος αἵματι ῥαίνοντα. ἐφ᾽ ᾧ καὶ ἀλγυνόμενος σφό-
δρα τὴν καρδίαν ὁ μάρτυς (καὶ πῶς γὰρ ἂν μὴ ἀλγοῦντος ὁ πόθος ὁ
πρὸς Χριστὸν ἐδείκνυτο;) Πορευόμενοι ἐπορεύοντο, ἔλεγε, καὶ ἔκλαιον βάλλοντες
τὰ σπέρματα αὐτῶν, ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει, αἴροντες τὰ δρά-
γματα αὐτῶν. ταῦτα ὁ μὲν ἡδέως ὑπέψαλλεν, | ὁ δὲ Τηριδάτης ὠμότερον αὐτὸν 48
τοῖς περιεστῶσιν ἐκέλευε παίειν, ἵνα (φησίν) ἐν ὀδύνῃ πλείονι καὶ κλαυθμῷ ἡ
προσδοκωμένη τοῦτον ἡδονὴ καταλάβοι. ἀλλὰ καὶ τοιαῦτα πάσχων ὡς καὶ
κορεννύειν τοῖς πάθεσι καὶ μισούντων ψυχάς, ὅμως ἀνδρειότατα διὰ Χριστὸν
ἔφερεν. ‖ ἐπὶ τούτοις ἁπλοῦσιν αὐτὸν ὕπτιον κατὰ τοῦ ἐδάφους, τοῦτο κελεύ- **12**
σαντος τοῦ τυράννου. καὶ τὴν μὲν κεφαλὴν τεκτονικῷ τινὶ ἐναπολαβόντες ὀρ-
γάνῳ, ἰσχυρότατα ἐκπιέζουσι, τῇ ῥινὶ δὲ αὐλίσκον ἐναρμοσάμενοι, νίτρον καὶ
ἅλας ὄξει κεκραμένους κατ᾽ αὐτῆς ἠρέμα ἐγχέουσι, καὶ τὴν δριμύτητα πρός
τε τὰ τῆς κεφαλῆς κοιλώματα καὶ παρ᾽ αὐτὸν εἰσπέμπουσι τὸν ἐγκέφαλον. ἐν-
τεῦθεν ἕτερον αὐτῷ κακώσεως τρόπον ἐπινοοῦσι, καὶ τὴν ἐκείνων ὠμότητα
καὶ τὴν τοῦ μάρτυρος ἀνδρίαν ἐπ᾽ ἴσης ἄμφω δεικνύοντα. θύλακον γὰρ ἐ-
νεγκόντες, καμινιαίας πληροῦσιν αἰθάλης, καὶ τούτῳ τὴν μαρτυρικὴν ἐκείνην
ἐμβάλλουσι κεφαλήν, καὶ τῷ τοῦ δικαίου τραχήλῳ τὸν θύλακον ἀποδέουσι, καὶ
εἰς ἕκτην αὐτὸν ἡμέραν τῇ χαλεπῇ ταύτῃ βασάνῳ πιέζεσθαι καταλείπουσι.
| τῇ ἑβδόμῃ τοίνυν μεταπεμψάμενος αὐτὸν Τηριδάτης, μετὰ τοῦ συνήθους μυ- 49
κτῆρος καὶ τῆς φίλης μωκίας Πόθεν ἡμῖν, ὦ οὗτος, νῦν ἐπανῆκες; ἔφη. ἆρά
γε ἀπὸ τῆς βασιλείας καὶ τῶν ἀγαθῶν ἐκείνων ἃ πρότερον ὑπὸ πλατεῖ τῷ
στόματι διεξῄεις, καὶ ὧν ἀπολαύσεσθαι προσεδόκας; καὶ ὁ γενναῖος εὐπαρρη-
σιάστως Οὔπω, φησίν, ὦ βασιλεῦ, πρὸς τὴν ἄρρητον ἐκείνην εὐδαιμονίαν ἀπο-
δεδήμηκα· ἔτι γὰρ τὸ βαρὺ τοῦτο περίκειμαι τοῦ σώματος φορτίον. ἀλλ᾽ ἐπεὶ
τοιούτων ὑπὲρ τοῦ ἐμοῦ δεσπότου ἠξίωμαι, ἥξω μετὰ τῆς ἐκείνου δόξης μικρὸν
ὕστερον, ὅτε γυμνὰ μὲν καὶ τετραχηλισμένα τῷ ἐκείνου βήματι παραστήσεται
πάντα, καθιεῖται δὲ αὐτὸς ὁ τοῦ θεοῦ λόγος κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν

49 Psalm ρκε 6 | 73 Hebr 4, 12

42 ἀπολιπούσασ cm | 42 σαννίσι b², aber das über der Zeile hinzugefügte andere ν ist von jüngerer Hand | 43 περιβαλὼν b¹ | 43 ἰσχυρῶς > a | 46 ἐμπήγνυσι b | 49 ἔ◣κλαιον c | 52 καὶ später nachgeklemmt b | 54 πάθεσιν a, παθήμασι b | 57 δὲ ◣◣◣◣◣ b | 58 καικραμένουσ c¹ | 58 αὐτοὺς m | 60 ὑπονοοῦσι a | 61 θύλακα a | 62 καμηνιαίας a¹b¹, καμιναίασ cm | 64 in ταύτῃ b ῃ über etwas anderem: einem ο? | 65/66 σ von μυκτῆρος später aus ο◣ b | 68 ἀπολαύσασθαι b | 70 φορτίον τοῦ σώματος a | 68/69 ἀπαῤῥησιάστως m

καρδίας, διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ ὀστέων καὶ μυελῶν, καὶ νέμων
ἑκάστῳ τὰ κατ᾽ ἀξίαν. ἡνίκα — φεῦ — οἷός σε περιστήσεται κίνδυνος· οἵαν
— ἄθλιε — τὴν τιμωρίαν κατακριθήσῃ. ταῦτα ἐπὶ πλέον ἐκμαίνει τὸν βασι-
λέα. καὶ αὐτίκα δεθεὶς τοὺς πόδας ὁ μάρτυς, κατὰ κεφαλῆς ἀναρτᾶται, καὶ
ὕδωρ πολὺ διὰ τῆς ἐκείνου ἕδρας ἐνιᾶσιν εἰς τὴν γαστέρα, κόλασιν ἅμα τοῦτο καὶ
γέλωτα ποιοῦντες οἱ ἀλιτήριοι· οὐδεμία γὰρ αἰσχύνη τοιούτοις ὄμμασιν ὧν αἱ
13 ψυχαὶ πλήρεις ἦσαν ἀκολασίας τε καὶ φαυλότητος. ‖ ἐπειδὴ δὲ ἐκεῖθεν κατενε-
χθεὶς ἦν, πάλιν ὁ βασιλεὺς ἐπειρᾶτο πείθειν. καὶ Πείσθητί μοι, πρὸς αὐτὸν
ἔλεγε, καὶ τοῖς μεγίσταις θῦσον θεοῖς, ἐπεὶ κακῶς ἀπολῇ, τὴν φίλην αὐτῶν
ὄμνυμι δύναμιν. Θύσω, ἀλλὰ τῷ θεῷ μου πάντως, θυσίαν αἰνέσεως, ὁ μέγας
ἔφη Γρηγόριος· αἰσθήσεως δὲ καὶ φρενῶν ἔρημα καὶ τὸ ὅλον ἄψυχα καὶ
κωφά, μὴ γένοιτο, Χριστὲ ὁ ἐμὸς βασιλεύς, μηδὲ τιμῆς τινὸς μηδὲ ῥήμα-
50 τος ἀξιῶσαι, κἂν εἰ καὶ πλείους ἐμοὶ καὶ βαρύτεραι κολάσεις ἐπάγωνται. | διερ-
ρήγνυτο τοίνυν πρὸς ταῦτα ὁ Τηριδάτης καὶ ἀπεπνίγετο τῷ θυμῷ, ἀμέλει
καὶ τὸν ἅγιον ἀναρτήσας πάλιν, ὄνυξι μὲν σιδήρου διέξαινεν αὐτοῦ τὰς πλευ-
ρὰς ὁ σιδήρου παντὸς σκληρότερος, ὡς καὶ αὐτὴν δήπου τὴν γῆν τοῖς κρου-
νοῖς τῶν αἱμάτων μολύνεσθαι. διακόψας δὲ καὶ βαθείας αὐταῖς ἐντεμὼν αὔ-
λακας, τριβόλους σιδηρᾶς ὑποστρώννυσι κατὰ τοῦ ἐδάφους. εἶτα γυμνὸς ὁ
τὸν Χριστὸν ὅλον ἐνδεδυμένος ἐπ᾽ αὐτῶν εἵλκετο. ἐν ὅσῳ δὲ αὐτὸν αἱ τῶν
δημίων χεῖρες πικρότατα κατὰ τῶν τριβόλων εἷλκον, ὁ μέν, τῷ οἰκείῳ ἀρδόμενος
αἵματι, ἤνθει μᾶλλον κατὰ τὰ εὐγενῆ τῶν φυτῶν, καὶ ἀνέθαλλε, καὶ τῷ τῆς
πίστεως καρπῷ ἐπλεόναζεν· ὁ δὲ Ποῦ ἔστι, φησίν, ὁ θεός σου, Γρηγόριε, ἐφ᾽
ὃν ἤλπισας; ἐλθέτω νῦν, καὶ τῶν ἐμῶν σε ῥυσάσθω χειρῶν. ὁ μὲν οὖν οὕτω
διὰ πασῶν ἐλθὼν τιμωριῶν καὶ κακώσεων, καὶ ῥᾷον ἐνεγκὼν ταύτας ἢ τὰς
14 51 ἡδονὰς ἕτεροι, καὶ πάσας ἐλέγξας, αὖθις τῇ εἱρκτῇ δίδοται. ‖ | τῆς δὲ ἐπιούσης
μετάκλητον πάλιν αὐτὸν ποιησάμενος Τηριδάτης, ὡς σὺν προθυμίᾳ καὶ μετὰ
σώματος ὑγιοῦς παραστάντα εἶδε, καὶ ταῦτα ταῖς βασάνοις αὐτῷ τῆς σαρκὸς
προαναλωθείσης, ἐθαύμαζε μὲν ἐφ᾽ ἑαυτοῦ καὶ διηπορεῖτο, ὅπως οὐχὶ καὶ τὸ
ἀναπνεῖν αὐτὸν μετὰ τῶν σαρκῶν ἐπιλίποι. ἡ ἔχις δὲ τὸν ἰὸν οὐκ ἀπωθεῖτο,
οὐδὲ ἡ πάρδαλις ἀπεδύετο τὰ ποικίλματα, ἀλλ᾽ ὁ αὐτὸς ἔμενε Τηριδάτης
ἔτι, καὶ τὴν αὐτὴν ὠμότητα τῷ μάρτυρι καὶ τὴν ἀπανθρωπίαν ἐτήρει. οὕτω
τοίνυν αὐτὸν ἔχοντα ἰδών, οὐδὲ οὕτω τὴν μεταβολὴν ἀπηγόρευεν, ἀλλ᾽ ἐφιλονεί-
κει ὁ μάταιος κρείττων γενέσθαι τῆς ἀηττήτου ψυχῆς. ὅθεν καὶ σιδηρᾶς πε-
ρικνημῖδας τοῖς μακαρίοις αὐτοῦ γόνασιν ἐμβαλών, καὶ σφηνίσκοις, σιδήρου
καὶ αὐτοῖς οὖσι, διαπερονήσας ταύτας, καὶ τὸν μάρτυρα κρεμάσας, εἰς τρεῖς

83 Psalm μθ 14 | 3 Ierem 13, 23

76 κατακριθήσηι c | 78 ἐκείνου > a | 80 πλήρης b[1] | 80 τε > a | 80 nach δὲ in b später καὶ eingeklemmt | 82 ἀπολῆι c | 83 θεῷ bcm, σωτῆρι a | 83 nach πάντως + Χριστῷ a | 84 τὸν b[1] | 86 εἰ abc, ἔτι m | 86 ἐπάγονται a[1]m | 88 ἁμαρτήσας m | 90 βαθεία[illegible]σ b | 93 τριβόλων bcm, τριχῶν a | 95 ἐστιν ohne φησίν m | 98 τῇ δὲ ἐπιούσῃ a | 99 αὐτὸν πάλιν m | 99 μεταποιησάμενος b | 99 σὺμ c[2] | 1 προάναλωθ[illegible]σης a[1] | 3 ὁ πάρδαλις a

ὅλας ἡμέρας μετέωρον αὐτὸν εἶχεν. ὁ δὲ τοσοῦτον ἀπεῖχε τοῦ τῶν ἀγεννῶν
τι πρὸς τὴν τοιαύτην παθεῖν ἐπιβουλὴν ἢ καὶ φθέγξασθαι, ὅσῳ καὶ καταγελᾶν
ἐῴκει αὐτῶν τε τῶν βασάνων καὶ τῶν ἐπαγόντων αὐτάς, εἰ τοιούτοις ἤλπισαν
τὴν ἐκείνου στερρότητα μεταπείσειν. κρεμαμένῳ τοίνυν τῷ γενναίῳ Οὔπω ᾔσθου,
Γρηγόριε, φησὶ Τηριδάτης, μάτην ἐπὶ τῷ σῷ θεῷ πεποιθώς; ἢ ἀλλὰ δεῖξον
ἡμῖν εἴ τι χρηστὸν τῆς ἐπ᾽ αὐτὸν ἐλπίδος ἀπέλαυσας. | ὁ δὲ Μάταιος αὐτὸς 52
εἶ, εὐθὺς ἀπεκρίνατο, καὶ πέρα καὶ αὐτῆς ματαιότητος καὶ ἀπονοίας τὰ
σά, κρίμα χαλεπὸν οὕτω κατὰ σοῦ ἐπιφέροντα, καὶ τὸ τῆς γεέννης κατὰ τῆς
σῆς κεφαλῆς ἐπισωρεύοντα πῦρ. ἐγὼ δὲ πέποιθα ἐπὶ τῷ κυρίῳ μου, ὅς ἀντι-
λήπτωρ μου ἐστὶ καὶ καταφυγή μου, καὶ ἐπ᾽ αὐτῷ ἤλπισα. τῶν δὲ παρὰ σοῦ
μοι διασπαρασσομένων σαρκῶν ὀλίγη φροντίς· ὅσῳ γὰρ τὸν ἔξω ἡμῶν φθεί-
ρεσθαι ἄνθρωπον, τοσούτῳ τὸν ἔσωθεν ἀνακαινοῦσθαι καὶ διδασκόμεθα καὶ
πιστεύομεν. || | θυμὸς ἐπὶ τούτοις λαμβάνει τὸν βασιλέα, καὶ πικρὸν τῷ μάρτυρι 53 **15**
ἐνιδών, Ἐπειδή, φησί, σὺ μὲν ἀνακαινίζεσθαι εἶπας, ἡμᾶς δὲ πυρὶ ἀσβέστῳ
δοθήσεσθαι ἠπειλήσω, ἀλλ᾽ ἐγώ σε τέως τῷ σβεννυμένῳ τούτῳ διδάξω μὴ οὕτω
φανερῶς τοῦ ἡμετέρου κράτους καταυθαδιάζεσθαι. καὶ αὐτίκα μόλυβδον κε-
λεύει λέβητι ἐμβληθέντα ἰσχυρῶς τε ἄγαν παφλάσαι, καὶ ὅλου καταχεθῆναι
τοῦ μάρτυρος. τὸ μὲν δὴ ὡς ἐκέλευσε, γέγονεν, ὁ δὲ οὕτως εἶχε γενναίως ὥ-
σπερ ὕδατος αὐτῷ ψυχροῦ καταχεομένου. καὶ τοῦτο δῆλον ἐξ ὧν φανερώτατα
μὲν τὴν ἐκείνου ἤλεγχε πλάνην παρ᾽ αὐτὸν τὸν τῆς βασάνου καιρόν, πεπαρρη-
σιασμένως δὲ τοῖς παροῦσι τὸν τῆς εὐσεβείας ὑπέτεινε λόγον. | οἷς δήπου καὶ 54
ὑπερεκπληττόμενος ὁ Ἀρμένιος ἐσπούδαζεν ἐκ παντὸς τρόπου κερδῆσαι τὸν
ἄνδρα, καὶ εἰ τούτου ἀποτύχοι, τὰ ἔσχατα ζημιωθῆναι τὸ Ἑλληνικὸν ᾤετο.
ὑποσκελίσαι τοίνυν αὐτὸν βουλόμενος, καὶ τῆς στερρότητος ἐκείνης καὶ τῆς
προθυμίας ἐκλῦσαι, κολακείαις τε αὐτὸν ὑποδραμεῖν διεσκέψατο, καὶ πλούτου
καὶ ἡδονῶν καὶ τιμῆς καὶ ἀγαθῶν τῶν ἄλλων ὑποσχέσεσι δελεάσαι. ἀλλὰ με-
ταξύ τις τῶν σατραπῶν Οὐκ ἔξεστι ζῆν αὐτόν, οὐδὲ τουτονὶ τὸν ἥλιον ὁρᾶν,
ὦ βασιλεῦ, λαμπρᾷ καὶ γεγωνοτέρᾳ τῇ φωνῇ ἀναφθέγγεται, παῖδα ὄντα τοῦ
Πάρθου Ἀνάκ, ὃς δόλῳ τε τὸν σὸν πατέρα Κουσαρῶ ἀνεῖλε, καὶ τῷ Περσῶν
τυράννῳ αἰχμάλωτον πᾶσαν κατεστήσατο τὴν Ἀρμενίαν. || τούτων ἀκούσαντα **16**
Τηριδάτην σφοδρός τε ὑπὲρ τοῦ πατρὸς εἰσέδυ ζῆλος, καὶ εὐθὺς πάντων ὧν
ἐφ᾽ ἑαυτοῦ ἐσκοπεῖτο λήθην διὰ τὸ πατρῷον αἷμα λαβών, κελεύει δεθέντα τὸν
ἅγιον τράχηλον καὶ χεῖρας ἅμα καὶ πόδας τῷ παρὰ τῇ πόλει Ἀρταξὰτ λάκκῳ
δοθῆναι. ὁ δὲ ἦν ὁ λάκκος οὗτος πρᾶγμα καὶ ἀκοῦσαι φόβου μεστόν. σεσηπὼς

17 Regn β 22, 3 | 19 Corinth β 4, 16

11 ἐῴκει c | 12 δικαίῳ a | 14 nach τι + ἄλλο b | 15 εὐθὺς > a | 19 σπαρασσομένων b | 21 μάρτυρ a[1] | 24 καταυθαδίζεσθαι c | 24 wohl μόλιβδον a, doch nicht sicher | 24/25 λέβητι κελεύει a | 25 καταχυθῆναι m | 27 ἀυτοῦ b | 29 ὑπέτινε b[1] | 31 ᾤιετο c | 32 αὐτὸς m | 32 στερότητος b[1] | 33 ἑλκῦσαι a[1] [῀ jetzt radiert, und ´ darüber gesetzt] m, ἑλκῦσαι b[1], ἐκλῦσαι b[2]c[2]: was c[1] gehabt hat, konnte ich nicht erkennen | 37 κουρσαρῶ a | 37 ἀνεῖλεν b | 38 Ende + τὸν b | 39 ὑπὸ b, jung in ὑπὲρ geändert | 40 ἀφ᾽ a | 41 ἅμα καὶ χεῖρας a | 41 ἀρταξᾶ bc, Ἀρταξᾷ m | 42 λάκοσ b[1], von erster Hand gebessert | 42 φόβου μεστόν bcm, φοβερόν a | 42 σεσηπὸς m

βόρβορος τὰ ἔνδον καὶ ἰοβόλοι ὄφεις καὶ σκώληκες, καὶ πάντων ὅσα κατὰ γῆς
ἕρπει, διατριβή, ἐκ πολλοῦ τοῖς Ἀρμενίοις εἰς ἐπίνοιαν φοβερᾶς κολάσεως
διορωρυγμένος, καὶ οὐδενὸς πρὸ τοῦ πώποτε τῶν ἐν αὐτῷ βληθέντων οὐχ ὅπως
56 οὐκ ἀναδύντος ἐκεῖθεν, ἀλλ' οὐδὲ εἰς ἡμέραν ὅλην ἀρκέσαντος. | τῷ τοιούτῳ
τοίνυν λάκκῳ μετὰ τὰς πολλὰς ἐκείνας καὶ ἀνυπερβλήτους κατά γε τὸν τῆς
κακίας λόγον ἐπιβουλὰς ὁ ἱερὸς ἐναπορριφεὶς Γρηγόριος, ἐπὶ τέσσαρας ὅλους
πρὸς τοῖς δέκα χρόνους τῇ ἐντεῦθεν ἐπολιορκεῖτο κακώσει. γυνὴ δέ τις συ-
ζύγου κεχηρωμένη παρὰ τῷ Ἀρταξὰτ φρουρίῳ οἰκοῦσα, ὄψεως αὐτῇ θείας
ὄναρ ἐπιφανείσης, ἄρτου τι τρύφος ἑκάστης ἡμέρας εἰς τὸν λάκκον ἠφίει, ὅπερ
τροφὴ τῷ μακαρίῳ γινόμενον, ἀνελάμβανέ τε αὐτῷ πεπονηκὸς τὰ σῶμα, καὶ
τέλεον ἐκλιπεῖν οὐκ εἴα. ἀλλὰ προφθάνει τὴν ἀκολουθίαν ὁ λόγος, μὴ ἀπο-
στῆναι μηδὲ βραχὺ τῆς τοῦ ἀνδρὸς μνήμης ἐθέλων, ἡμῖν δὲ πρὸς τὰ ἑξῆς ἐ-
**17** 55 πανιτέον τῆς ἱστορίας. || Τηριδάτης τοίνυν θανάτῳ παραδοῦναι τὸν δίκαιον ἀφύκτῳ
νομίσας, χειμῶνος δήπου συνισταμένου καὶ διαψύχοντος, αὐτὸς ἐπὶ τῶν ἀρμε-
νικῶν βασιλείων παρῄει, ἐκεῖθεν δὲ ἐπὶ Πέρσας ἐκστρατεύει, καὶ τήν τε χώ-
ραν αὐτῶν κατέτρεχε, καὶ πρὸς τὴν Ἀσυρίων διέβαινε. καὶ μονομαχῶν
ἐκράτει, καὶ πολὺς ἦν τοῖς εὐτυχήμασι καὶ ταῖς ἀνδραγαθίαις. πλὴν ἀλλὰ
Διῒ καὶ Ἀρτέμιδι καὶ Ἡρακλεῖ τὰ τῆς νίκης ἀνετίθει, ἀμέλει καὶ οὐδὲ περὶ
τὴν ἐκείνων μόνον ἐπονεῖτο θεραπείαν, ἀλλὰ καὶ κατὰ Χριστιανῶν αὐτῶν καὶ
59 τῆς εὐσεβείας δεινὸν ἔπνει καὶ μανικόν. | τὸν δὲ μεταξὺ τοῦτον χρόνον τὴν βα-
σιλικὴν ἁλουργίδα Ῥωμαίων οὐκ εὐτυχῶς περιβαλόμενος Διοκλητιανός, γυ-
ναῖκά τε ἀγαγέσθαι ἤθελε, καὶ ἐσπούδαζεν ἑαυτῷ τὸν γάμον. καὶ δὴ πάντων
ὅσοι παρθένους ἔτρεφον πατέρες, παρ' αὐτὸν ἰόντων, καὶ ὅπως τούτῳ τὴν ἑαυ-
τοῦ ἕκαστος ἐγγυήσοι πολλῆς μηχανῆς γινομένης, πάσας ἐκεῖνος παραδρα-
μών, ἐπειδὴ παρά τινι τῶν ὑπ' αὐτὸν πόλεων ἅγιον παρθένων χορὸν ἐν μο-
ναστηρίῳ ἀσκεῖσθαι μάθοι, ὧν Γαϊανὴ μὲν προειστήκει, τῇ δὲ ὑπ' αὐτῆς τρα-
φείσῃ καὶ παιδευθείσῃ Ῥιψίμη ὄνομα ἦν, χριστιανοῦ μὲν αἵματος ἄμφω καὶ
60 γένους. | ἡ δὲ Ῥιψίμη ὥσπερ ἀρετῆς ὥρᾳ, οὕτω δὴ καὶ σώματος κάλλει δια-
βεβόητο. ἐπειδὴ τοίνυν τὰ κατὰ τὴν Ῥιψίμην ἐπύθετο, ἄλλως τε, καὶ τῶν
ζωγράφων τινὸς αὐτῷ διαγράψαντος τὸ τῆς Ῥιψίμης εἶδος (καὶ γὰρ καὶ ἡ εἰ-
κὼν ἀνέφλεγε τὸ μέρος αὐτόν), θερμότατά τε αὐτῆς ἤρα, καὶ ὑπὸ τοῦ πόθου
διιωστροῦτο, καὶ μανία ὁ ἔρως καὶ λύσσα ἦν ἀκριβής. καὶ ὁ μὲν δὴ τὰ γα-
μήλια ηὐτρέπιζεν ἐκ πολλοῦ, καὶ τὴν ἑορτὴν ἐκήρυττε, τοὺς τὸν γάμον τε αὐ-
τῷ διακονησομένους συνῆγε. καὶ πρὸς τὴν Ῥιψίμην τοὺς κόλακας ἔπεμπε,

45 διωρορυγμένος b[1]c[1] | 46 ἀναδύντως b[1], zurecht radiert | 50 ἀρταξᾶ bc, Ἀρταξᾶ m | 51 ἐπιφανή-σεις b[1] | 55 δίκαιον acm, ἅγιον b | 58 ἀσσυρίων c [mit σσ auf Rasur] a, Ἀσσυρίων m | 61 ει von θερα-πείαν von erster Hand über ι b | 62 τοῦτον ohne Variante | 63 οὐκ > b | 63 περιβαλλόμενος a | 64 ◢◢◢ ἤ-θελε b | 66 γινόμενος b[1], später verbessert: γενομένης m | 67 ἁγίων am | 68 ὑ von ὑπ' steht in b auf dem Raume dreier durch Radieren getilgter Buchstaben am Zeilenende, π' vor dem Anfange der nächsten Zeile von erster Hand | 71 ἄλλος m | 72 das zweite καὶ > b | 73 πάθους a | 74 διοιστροῦτο abcm, aber in b οι auf Rasur | 74 μανίᾳ und λύσσῃ m

καὶ λόγους αὐτῇ περὶ γάμων προσῆγε, καὶ ὑπετίθετο ἐμπαράσκευον ἤδη τὰ
πρὸς αὐτοὺς εἶναι. ‖ ἡ δὲ — τί γὰρ ἂν πρὸς τῆς παρθενίας αὐτῆς ἐννοήσοι πρὸς **18**
ταῦτα ἢ φθέγξαιτο ἡ σύνοικον πάλαι τὴν ἐγκράτειαν ἑλομένη παρθένος, καὶ
ὀσπρίοις ἀποζῶσα μόνοις, καὶ νύκτας ὅλας τῇ φίλῃ προσευχῇ συνοῦσα, καὶ
μηδὲ ἡμέρας τῶν εἰς τὸ θεῖον ὕμνων ἀφισταμένη; — Οὐ ψεύσομαί σε, νυμ-
φίε Χριστέ, εἶπεν· οὐκ αἰσχυνῶ σε, παρθενία φίλη· οὐ προδώσω σε, μῆτερ
ἐγκράτεια. | καὶ δῆτα, ὅπερ αὐτὴν καὶ μόνον ἦν σῶσαι δυνάμενον — οὐ γὰρ 65
προσήκουσιν, οὐ φίλοις, οὐ πατράσιν, οὐκ ἄλλοις τισὶ τὸ παράπαν ὠχύρωτο —
μεταναστεῦσαι βουλεύεται παρ᾽ αὐτίκα, καὶ συνεργοὺς ἀγαθὰς τὰς ἄλλας
εὑρίσκει παρθένους, ὅσαι καὶ τῆς διαίτης αὐτῇ καὶ τῆς ἀρετῆς ἐκοινώνουν.
καὶ οὐκ ὤκνησάν γε, καίτοι ἐκλελοιπυῖαι ὑπὸ τῆς πολλῆς ἀσιτίας ἤδη, ἀλλὰ
μεταναστεύουσιν ὡς στρουθία ἐπὶ τὴν βάρβαρον τῶν Ἀρμενίων σὺν αὐτῇ χώ-
ραν. παρώρμα γὰρ αὐτὰς καὶ ἡ δεσποτικὴ ἐντολὴ πρὸς τὴν μετοίκησιν, ἐὰν
διώξωσιν ὑμᾶς ἀπὸ τῆσδε τῆς πόλεως, λέγουσα, φεύγετε εἰς τὴν ἄλλην.
| ἔνθεν τοι καὶ ἀπαίρουσιν ἐκεῖθεν σὺν προθυμίᾳ, καὶ ἐν Ἀραρὰτ κατάγονται 66
πόλει. ληνοὶ δὲ ἦσαν αὐταῖς ἡ καταγωγή. ἐπειδὴ δὲ παντάπασιν ἠπόρουν τῶν
ἀναγκαίων, μία τις αὐτῶν ἐν ταῖς χερσὶ τὴν ἐλπίδα τοῦ βίου θεμένη, περὶ
τὴν ταλασιουργόν τε εἶχε τέχνην, καὶ ὑπ᾽ αὐτὴν ἐπονεῖτο, καὶ τὸ ἐντεῦθεν αὐ-
τῇ ποριζόμενον εἰς διατροφὴν ἀνήλισκε τῶν παρθένων. | Διοκλητιανὸς δέ, πονή- 67
ρως τε ἤδη τῷ ἔρωτι ἔχων, καὶ οὐκέτι οἷός τε ὢν ἠρεμεῖν, ἐπειδὴ πάντα λίθον
κινήσας, ἔμαθε παρὰ τῇ Ἀρμενίων χώρᾳ τὴν Ῥιψίμην μεταναστεῦσαι, ὡς εἶχεν,
εὐθὺς γράφει τῷ τῆς Ἀρμενίας βασιλεῖ Τηριδάτῃ ἄλλα τε κατὰ Χριστιανῶν οὐκ
ὀλίγα, | καὶ ὡς τὴν ἐρωμένην αὐτῷ Ῥιψίμην, πανούργῳ καὶ γόητι ὁμιλίᾳ ὑπο- 68
δραμόντες, ἀνέπεισαν τῆς μετ᾽ αὐτοῦ συνουσίας τὴν ἐπὶ ξένης ἑλέσθαι διατρι-
βήν, καὶ ἄτιμον ἐν αὐτῇ πλανῆτιν περιϊέναι. εὔκολον γὰρ γυνὴ πρὸς ἀπάτην
καὶ κοῦφον. δεῖν δὲ αὐτὴν ἐκ παντὸς τρόπου ἐν τῇ Ἀρμενίων ἀνευρόντα, παρ᾽
αὐτὸν ἀναπέμπειν. εἰ δὲ καὶ ἑαυτῷ, φησί, συνοικίσαιτο, καὶ τοῦτο αὐτὸν εὐφρα-
νεῖν οὐδὲν ἧττον. ‖ | ταῦτα ἐπειδὴ ὡς τὸν Τηριδάτην τὰ γράμματα ἧκεν, ἀνίχνευε 70 **19**
τὰς παρθένους ἐκεῖνος παραχρῆμα καὶ ἀνηρεύνα. ὡς δὲ καὶ ἐν ταῖς ληνοῖς
αὐτὰς κρύπτεσθαι μεμαθήκοι, δείσας μὴ προαισθόμεναι τὴν ἔρευναν ἐκεῖθέν τε
διαφύγοιεν, καὶ ἐν ἀδήλῳ ἀποχωρήσωσι, φρουρᾷ τὸ χωρίον διαλαμβάνει. | καὶ 71
μαθὼν ὑπὸ τῶν ἰδόντων Ῥιψίμην ὡς εἴη περιττὴ τὸ κάλλος, καὶ χαρίτων ἀ-
φθονίᾳ πολὺ τὸ ἐπαγωγὸν ἔχουσα, ὑπετύφετο ἤδη τῷ πρὸς αὐτὴν ἔρωτι, καὶ
βασιλικὰς αὐτῇ στολὰς εὐθὺς καὶ κόσμον ἄλλον ἐκπέμπει, καὶ κελεύει τὴν

88 Psalm ι 1 | 89 Matth 10, 23

78 ἂν > a | 78 παρθενείας m | 80 σύρουσα m | 81 ω von ὕμνων von erster Hand auf Rasur b | 82 μ̄ε̄ρ a, μῆρ´ b | 83 ἀυτὴν b²m, ἀυτῇ ab¹, ἀυτῆι c | 85 μετα▨▨ναστεῦσαι b, wo in der ersten Rasur noch ι erkennbar, das zweite α aus ε hergestellt ist | 85 ἀγαθὰς > b | 85 εὑρίσκει τὰς ἄλλασ b | 87 zweites ι von ἐκλελοιπυῖαι unterm Schreiben später a | 88 μεταναστύεουσιν m | 94 spät am Rande ἐρίων ἐργασίαν a | 95/96 πονήρως betonen abcm | 96 λίθων a¹ | 97 ἔμαθεν m | 97 τῇ ῥιψίμῃ b, spät verbessert | 98 βασιλεῖ▨▨ b | 100 ἐκείνου m | 100/1 διαγωγὴν a | 1 πλανήτην b¹ | 3 συνοικίσαιτο bcm, συνοικίσαι a¹, συνοικῆσαι a² | 4 ὡς acm, πρὸσ b | 5 παραυτίκα a | 5 τοῖς m | 8 ἰδότων b¹, εἰδότων b²

μὲν Ῥιψίμην ταῦτα ἐνδῦσαν, εἰς τὰ βασίλεια παρ' αὐτὸν ἐλθεῖν, τὰς δὲ λοι-
πὰς ὑπὸ τῇ φρουρᾷ τηρεῖσθαι. ἐκείνη μέντοι τῷ εἰς Χριστὸν πόθῳ διαφλεγο-
μένη καὶ σφόδρα περικαῶς αὐτοῦ ἔχουσα, ὃν δὴ καὶ μόνον ᾔδει νυμφίον, ταῖς
παραινέσεσί τε καὶ ὑποθήκαις Γαϊανῆς, ἥτις καὶ ἀνεθρέψατό γε αὐτὴν ἐκ
βρέφους καὶ εἰς τόδε προήγαγεν ἡλικίας, ἐπὶ μᾶλλον ὑπερζέουσα, τούς τε
τοῦ μισουμένου ἐραστοῦ λόγους ἐπ' ἴσης καὶ τὰ πεμφθέντα διέπτυε, καὶ προ-
75 σευχῇ μετὰ τῶν σὺν αὐτῇ προσανεῖχεν. | ἐν ὅσῳ δὲ τὰ τῆς εὐχῆς διηνύετο, καὶ
βροντὴ ἀθρόον ὑπερράγη, καὶ φωνὴ ἄνωθεν τῇ βροντῇ ἀπηχεῖτο, Ἀνδρίζεσθε,
λέγουσα, καὶ θαρσεῖτε· μεθ' ὑμῶν γάρ εἰμί, καὶ φυλαχθήσεσθέ μοι ἀνέπαφοι
ταῖς τοῦ ἐχθροῦ ἐπηρείαις, καὶ εἰσελεύσεσθε μετ' ἐμοῦ εἰς τὸν νυμφῶνα τὸν
ἐμόν, καὶ τὴν ἡτοιμασμένην ὑμῖν ἀπολήψεσθε βασιλείαν. ταῦτα ἥ τε φωνὴ
ἔλεγε, καὶ ἡ βροντὴ φοβερὸν ἐκτύπει, καὶ ἐπὶ πολὺ ταύτῃ συμπαρετείνετο. καὶ
πολλοὺς μὲν ἐκ τοῦ αἰφνιδίου τῇ ἀκοῇ προσραγεῖσα, εἰς γῆν κατέβαλε, καὶ τὸ
φθέγγεσθαι αὐτῶν ἀφείλετο. πολλοὺς δὲ ἱππεῖς καὶ αὐτῶν ἀπέβαλε τῶν ἵππων,
καὶ περιβάντες αὐτοὺς καὶ συμπατήσαντες οἱ ἵπποι ἀπέκτειναν. καὶ ὅλως ἐθο-
ρύβησε τοὺς παρόντας καὶ εἰς ἀμηχανίαν ἐνέβαλεν. οἱ μέντοι πρὸς τοῦ βα-
σιλέως Τηριδάτου σταλέντες ἐφ' ᾧ τὴν Ῥιψίμην μετακαλέσονται, φόβου τὰς
ψυχὰς ὑποπλησθέντες, ἐπανίασι, κάτω νεύοντες, πρὸς τὸν βασιλέα, καὶ αὐ-
τῷ ἀπαγγέλλουσι τὰ γεγενημένα, καὶ ὡς οὔτε δέχοιτο ἡ Ῥιψίμη τὰ πεμ-
φθέντα, οὐθ' ὅλως παραγενέσθαι ἀνάσχοιτο. ὁ δέ, χαλεπῶς ἀγριάνας, καὶ μη-
δὲν μήτε ὧν ἀπήγγειλαν αὐτῷ συμβαλὼν — πῶς γάρ; ἔρωτι μεθύουσα ψυχή
—, μήτ' αἰσχῦναι τὴν παρθένον εὐλαβηθείς, Ἀλλ' ὑμεῖς ἀγάγετε ταύτην καὶ
76 ἄκουσαν, ἔφη. | οὗτοι γοῦν τὴν ταχίστην ἐπὶ τὴν Ῥιψίμην συρρεύσαντες, καὶ ἄλ-
λος ἄλλοθεν λαβόμενοι ταύτης, καὶ βίᾳ πολλῇ συνεπισπασάμενοι, τῷ βασιλεῖ
παριστῶσιν. ἡ δὲ καὶ οὕτως ἀποληφθεῖσα, καὶ εἰς τοῦτο κακοῦ περιστᾶσα, ἀν-
δρειότατα δ' οὖν ἐκεῖνο ὑπῇδε, Ῥῦσαι ἀπὸ ῥομφαίας, λέγουσα, τὴν ψυχήν μου,
καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου, καὶ τὸ ὄνομα τοῦ ποθεινοῦ νυμφίου ἐ-
20 πεβοᾶτο. ‖ ἐπειδὴ δὲ καὶ αὐτοῦ ἔνδον ἐγένετο τοῦ βασιλείου κοιτῶνος, τοὺς ὀ-
φθαλμοὺς Χριστῷ μετὰ τῶν φρενῶν ἀνασχοῦσα, τῶν κατὰ τὴν ἐρυθράν τε καὶ
τὴν ἔρημον αὐτὸν ἀνεμίμνησκε θαυμασίων, καὶ τὸν Ἰωνᾶν εἰς μέσον παρῆγε μετὰ
τοῦ θαυμαστοῦ ναυαγίου καὶ τῆς παραδόξου ἀναβιώσεως, τοῦ Δανιὴλ τε καὶ τῶν
τριῶν ἐμέμνητο παίδων, καὶ ὅπως ὡς ἐπὶ δροσερᾶς πόας ἐκεῖνοι τῆς φλογὸς
ἔβαινον. εἶτα καὶ τῆς Σωσάννης διεξῄει τὴν ἐπιβουλὴν καὶ τὴν ἀπολύτρωσιν, καὶ
77 ὅμοιον αὐτῇ παραστῆναι βοηθὸν ἐν ὁμοίαις ᾔτει ταῖς περιστάσεσι. | καὶ μεταξὺ
εἰσπηδήσαντι εἰς τὸν κοιτῶνα τῷ Τηριδάτῃ βαρύτερος ὁ τῆς ἀκολασίας ἐμπίπτει
δαίμων, καὶ παράφορον ὑπὸ τοῦ ἔρωτος καὶ ἐμμανὲς ἀνεβόα, καὶ διεφλέγετο καὶ

36 Psalm κα 21

11 μὲν > m | 13 ᾔδη◣ b¹, ᾔιδει c | 14 ἡ von ἥτις von erster Hand auf Rasur b | 14 zweites καὶ > bcm | 22 ταύτη◣ b | 23 κατέλαβε m | 35 ἀπολειφθεῖσα a²m | 36 nach οὖν + ὅμως m | 37 κ◣υνὸς a [υ ursprünglich etwas anderes], κοινὸς b¹ | 37 ποθητοῦ a | 38 καὶ αὐτοῦ nach ἐγένετο a | 39 ἐρυθράν τε καὶ > m | 40 τὴν > am | 40 ἀνεμίμνησκεν αὐτὸν a | 40 vor τὸν ist in a εἰ radiert | 40 παρήγαγε m | 46 διεφθέγγετο m

κατετήκετο. καὶ ὑπέτρεχε τὴν Ῥιψίμην καὶ ἐθώπευε, καὶ πάντα τρόπον πα-
νουργότατα ἐπεχείρει. ἡ δὲ καὶ ἀπεστρέφετο προσιόντα, καὶ ἁπτομένου ἐδυσχέ-
ραινε, καὶ τὸν αὐχένα ἐκτείνοντα ἀκολάστοις φιλῆσαι χείλεσιν οὐχ ὑπέμενε, παρ-
θενικῶς εὖ μάλα καὶ πεπαιδευμένως, ἐρυθήματός τε σώφρονος ὑπεπίμπλατο τὴν
ὄψιν, καὶ οἰμώζειν τὸν ἀκόλαστον ἔλεγε, καὶ τὸν νυμφίον ἐκάλει Χριστόν, καὶ θερ-
μοτέρῳ τῷ πρὸς ἐκεῖνον ἔρωτι ἀνεφλέγετο. καὶ τί γάρ; ἐν βραχεῖ τοῦ τοσούτου
τὸν ὄγκον καὶ τηλικούτου τὴν ῥώμην ὑπερέσχε, καὶ καθαρὸν τῷ νυμφίῳ Χριστῷ
καὶ τὸ τοῦ σώματος κάλλος καὶ τὴν τῆς ψυχῆς εὐγένειαν διεσώσατο. οὕτως
οὐδὲν ἄμαχον ὡς ἡ ἐπὶ Χριστὸν εὔνοια καὶ ἐλπίς, καὶ εἰ ταύτῃ μόνον ὁπλίσῃ,
οὐ προσελεύσεται πρὸς σὲ κακά, οὐδὲ μάστιξ ἐγγιεῖ τῷ σκηνώματί σου. || τῆς παρ- 21
θένου τοίνυν Τηριδάτης αἴσχιστα ἡττηθείς, ἔξεισι τοῦ κοιτῶνος, καὶ ἀπολού-
σασθαι τὴν ἀδοξίαν ἐθέλων, μᾶλλον δὲ μὴ στέγων τὴν ἀκολασίαν, μηδὲ ζῆν
ἀνεχόμενος, εἰ μὴ ἀνέδην εἰς τὴν παρθένον ἐνυβρίσοι, | κελεύει ὑπὸ κλοιῷ ἀ- 78
χθεῖσαν Γαϊανὴν καὶ πρὸς τὰς θύρας ἔξωθεν στᾶσαν ἀναγκάζεσθαι παρὰ τῶν
ὑπηρετούντων ἔνδον οὔσῃ παραινεῖν τῇ Ῥιψίμῃ, πεισθῆναί τε τῷ βασιλεῖ, καὶ
πρὸς οὐδὲν ὧν ἐκεῖνος βούλοιτο ἀντιλέγειν· ᾔδει γὰρ παιδαγωγόν τε Γαϊανὴν
οὖσαν Ῥιψίμης καὶ διδάσκαλον τὰ εἰς ἀρετήν, καὶ εἰ μόνον ἐκείνη ἐθελήσειε,
μηδὲν ἀντεροῦσαν Ῥιψίμην, ἄθλιος, ὅς γε οὐκ ἠγάπα μόνης ἡττηθεὶς τῆς Ῥι-
ψίμης, ἀλλὰ καὶ Γαιανὴν τῇ ἑαυτοῦ κεφαλῇ δεύτερον ἐπῆγε κακόν. ἥτις, ἐπει-
δὴ καὶ παρέστη, ἐτύπτετο μὲν ὑπὸ τῶν ἐκείνου δορυφόρων διὰ Ῥιψίμην καὶ ἐ-
σπαράττετο, ἡ δὲ καὶ τοιαῦτα πάσχουσα, ὅμως τὸ ἐναντίον ἅπαν ἐποίει. ἀνε-
μίμνησκε γὰρ τὴν παρθένον τῶν πρὸς τὸν θεὸν ὁμολογιῶν· ὑπέγραφε τὴν ἐ-
κεῖθεν τῶν δικαίων λαμπρότητα τῷ λόγῳ· τὴν ἠπειλημένην τοῖς φαύλοις γέ-
ενναν ἀντετίθει πάλιν. | καὶ οἱ δορυφόροι μεταξὺ αἰσθόμενοι τῶν εἰρημένων, λί- 80
θοις τε αὐτῆς ἐκκρούουσι τοὺς ὀδόντας, καὶ τῷ βασιλεῖ τὰ κατὰ γνώμην ἠ-
νάγκαζον φθέγγεσθαι. ἡ δέ, ὥσπερ ῥωσθεῖσα ταῖς πληγαῖς μᾶλλον, ἀλλ᾽ οὐκ
ἀλγήσασα ὅλως, καὶ ἕτερα προσετίθει. ἀλλὰ τὴν μὲν οἱ δορυφόροι εὐθὺς ἁρ-
πάσαντες, πόρρω που ἔθεσαν, κελεύσαντες ἀπιέναι πάλιν ὅθεν ἀφίκετο. || Τηρι- 22
δάτης δὲ κἀνταῦθα ἐκφανέστερον ἡττηθείς, καὶ ὅλως τοῦ πρὸς Ῥιψίμην ἀπο-
σφαλεὶς ἔρωτος, καταβαλὼν ἑαυτὸν εἰς ἔδαφος ἐκυλίετο. ἡ μέντοι νικηφόρος
Ῥιψίμη ἀνὰ κράτος τοῦ ἀντιπάλου κρατήσασα, ἔξεισιν ὥσπερ τις Ὀλυμπιονίκης
(ἐδίδου γὰρ αὐτῇ πολλὴν ἄδειαν καὶ ἡ νὺξ ἤδη), καὶ διὰ τῆς πόλεως ἐλθοῦσα
μέσης, ἄγγελος ταῖς ἄλλαις παρθένοις τῆς οἰκείας νίκης καὶ τῶν κατὰ τοῦ
ἐχθροῦ γίνεται τροπαίων, μᾶλλον δὲ αὐτὴ τρόπαιον ἥκει, οὕτω τε τὸν ἀνταγω-
νιστὴν χαλεπὸν πτῶμα καταβαλοῦσα, καὶ ἀκέραιον ἑαυτῇ διασωσαμένη τὴν παρ-

56 Psalm Ϙ 10

47 ὑπέτρεχεν b | 47 τῇ ῥιψίμῃ b | 48/49 ἐδυσχάραινε b$^1$, von erster Hand gebessert | 49 ἀκολάστουσ b$^1$ | 50 πεπαιδευμένοσ a$^1$c | 50 ἐρυθήματοσ bcm, αἰδοῦσ a | 50 σώφρονος > a | 50 ὑπεπίπλατο bc$^2$ | 51 ἔλεγεν a$^1$ | 56 μάστι[illegible]ξ c | 57 vor Τηριδάτης + ὁ a | 57/58 ἀποδύσασθαι b, ἀπολύσασθαι cm | 59 ε von ἀνέδην kaum von erster Hand auf Rasur b | 59/60 ἀχθεῖ σε m | 62 nach γὰρ + τε a | 63 εἰ[illegible] b | 63 αιθελήσειεν b, wo αι jetzt auf Rasur durch ε ersetzt ist | 66 παρέστει b$^1$? | 68 ὑπέγραφε m | 69 εἰπειλημένην b$^1$ | 81 ἑαυτὴν m

81 θενίαν. | ἐκείνην μὲν οὖν κλέψασαι τὴν νύκτα, καὶ τῆς ληνοῦ ὡς ἐνῆν αὐταῖς
δυνατὸν διαλαθεῖν, ἐκχωρήσασαι. ἐπὶ τινός τε ἀμμώδους πλησίον ἐγένοντο τό-
που, καὶ τῷ νυμφίῳ Χριστῷ ηὐχαρίστουν, καὶ αὐτῷ νοητῶς συνῆσαν, καὶ ταύ-
83 τῃ παρεμυθοῦντο τὸν ἔρωτα. εἶτα καὶ τὴν πρὸς αὐτὸν ἀνάλυσιν ᾔτουν. | φιλο-
πόνως δὲ τούτων τῇ εὐχῇ ἐγκειμένων, ἐφίσταται προηκούσης ἤδη τῆς νυκτὸς
ὁ τοῦ βασιλέως ἀρχιμάγειρος, μετὰ δορυφόρων ὑπ᾽ αὐτοῦ ἐσταλμένος, λαμπάδας
διὰ χειρὸς ἔχοντες. καὶ λαβόμενοι τῆς μακαρίας Ῥιψίμης, καὶ ὀπίσω τὼ χεῖρε
περιαγαγόντες δεσμοῦσι, καὶ τὴν γλῶσσαν προτείνειν κελεύουσι. τῆς δὲ καὶ τοῦ
λόγου θᾶττον τὸ κελευσθὲν ποιησάσης, ἐκτέμνουσι ταύτην. εἶτα τὸν χιτωνί-
σκον οἱ παλαμναῖοι περιρρηξάμενοι, καὶ τῶν χειρῶν ἀποτείνοντες ἑκατέραν καὶ
τῶν ποδῶν, καὶ ὀρθίοις ἐνδησάμενοι ξύλοις, ταῖς λαμπάσι κατέκαιον. ἑξῆς
δὲ λίθῳ τὰ περὶ τὴν γαστέρα διατεμόντες ὀξεῖ, κατὰ γῆς τε χέουσι τὰ ἔγκα-
τα. καὶ τοὺς ὀφθαλμοὺς μικρὸν ὑποσπαιρούσης ἔτι ἐκκόπτουσι, καὶ ὅλην εἰς
λεπτὰ διεσπάσαντο. ἀλλ᾽ ἡ μέν, οἷάπερ ἄρτι τῶν παρθενικῶν θαλάμων ἐξορ-
μηθεῖσα, οὕτω καλὴ καὶ ἐπίχαρις ἀπολιποῦσα τὸ σῶμα, τῷ νυμφίῳ Χριστῷ
παρέστη, καὶ ὀφθαλμῶν τῶν ἐκείνου καὶ παστάδων ἀξία, λίθων τε πολυτελῶν
μᾶλλον καὶ περιδεραίων καὶ ὅρμων καὶ νυμφικῶν περιβλημάτων ἁπάντων, τοῖς
87 ὑπὲρ αὐτοῦ στίγμασι πάντοθεν διακεκοσμημένη. | τοῦ γε μὴν τῆς φυγῆς αὐτῇ
κοινωνήσαντος τῶν παρθένων χοροῦ, εἰς ἑβδομήκοντα οὐσῶν, δύο πρὸς ταῖς
τριάκοντα εἰς ἄγραν τῶν μαρτυρικῶν λειψάνων ὁρμήσασαι, εἶτα κατάφωροι γε-
νόμεναι τοῖς δορυφόροις, τὸ διὰ ξίφους καὶ αὐταὶ τέλος ὑπέστησαν, ἐπικερδέ-
στερον πολλῷ τῆς ἄγρας εὑροῦσαι τὸν κίνδυνον, καὶ ἧς ἔσπευδον καὶ λείψανον
θηρᾶσαι μόνον. ὅλην αὐτὴν ζῶσαν ἀπολαβοῦσαι, εἰς τὸν αὐτόν τε αὐτῇ νυμφῶνα
εἰσελθοῦσαι, καὶ τοῦ αὐτοῦ ἀξιωθεῖσαι νυμφίου. τὰ μέντοι σώματα τούτων θη-
ρίοις ἐμερίσαντο οἱ μιαιφόνοι, καὶ τὰ πλείω ταῖς βασάνοις ἐκεῖνοι πρῶτον κατα-
φαγόντες, τὰ ὑπολειπόμενα δεῖπνον ἔθεντο τοῖς θηρίοις, μηδὲ γῆς αὐτοῖς μετα-
**23** 83 δοῦναι βραχείας τοὺς διψῶντας αὐτὰ χριστιανοὺς ἀνασχόμενοι. || | τοῦ ἀρχιμα-
γείρου δὲ ἀναστρέψαντος, καὶ τίνα τὸν τρόπον καὶ τὴν Γαϊανὴν ἀνέλῃ, πυνθα-
νομένου, Ἤδη γάρ, φησίν, ἀνῄρηται κατὰ τὰ διατεταγμένα ἡμῖν ἡ Ῥιψίμη, ὁ
Τηριδάτης οἷα μηδενὸς τῶν εἰρημένων αἰσθόμενος — ἀπώλλυε γὰρ τὸν ἄθλιον
ὁ ἔρως, καὶ οὐδὲ ἀναπνεῖν ἐλεύθερον συνεχώρει —, Ἡ δὲ Ῥιψίμη, ἔλεγε, ποῦ;
ἀλλὰ ποῦ ἂν ἴδω Ῥιψίμην; δότε, θεάσομαι Ῥιψίμην τοῖς ὀφθαλμοῖς. ἐπειδὴ
δὲ ὥσπερ ἐξ ὕπνου ἢ μέθης ἀνενεγκών, πάντα ἀκριβῶς ἐμάνθανεν ὅσα τε αὐ-
τὸς ἐπιτάξοι, καὶ ὅσα οἱ κελευσθέντες ἔδρασαν, δεινὰ ἐποίει καὶ ὠλοφύρετο καὶ
ἐβόα, καὶ τέλος ὡς οὐ βιώσεται ἔλεγε, μὴ οὐχὶ συνὼν τῇ Ῥιψίμῃ. καὶ αὐτίκα

85 Philipp 1, 23

82 λινοῦ a¹ | 84 εὐχαρίστουν m | 85 erstes ν von ἀνάλυσιν über etwas anderem b | 86 ἐφίσται b | 88 τῶ a¹ | 89 προαγαγόντες b | 89 γλῶτταν a | 90 ποιησάσας m | 91 ἑκατέρων a | 94 ὑπασπαιρούσης m | 97 λυ von πολυτελῶν von erster Hand auf Rasur b | 98 περιδερραίων b, περιδεῤῥαίων m | 1 κατάφοροι m | 3 εὑρόντες c, vielleicht richtig, da die Vorlage von einem Barbaren übersetzt, das Geschlecht im Participium nicht immer unterscheidet | 4 ζωὴν a | 5 ἀξιωθῆναι a | 6 διεμερίσαντο a | 6 πρῶτον > a | 7 ὑπολιπόμενα ac | 7 δεῖπνειν m | 9 ἀνελεῖ m | 10 φησὶ m | 13 ποῦ > m | 13 δότε θεάσομαι Ῥιψίμην > m | 15 ἐπέταξε m | 16 ἀνεβόα b

τὴν τῆς Γαϊανῆς ἐκέλευε γλῶσσαν, ὄπισθεν διὰ τοῦ τένοντος ἑλκυσθεῖσαν, ἀ-
ποσπασθῆναι τοῦ φάρυγγος, εἶτα καὶ αὐτὴν ὠμῶς ἄγαν καὶ ἀπανθρώπως ἀναι-
ρεθῆναι· οὐ γὰρ ἂν οὐδὲ οὕτως ἀξίαν ἔλεγε τὴν δίκην ἐκτίσειν· ἡ γὰρ κακὴ
αὕτη γλῶσσα, φησίν, αὕτη μου τὴν καλὴν ἀφείλετο Ῥιψίμην· τὴν τῆς ἐμῆς
αὕτη ψυχῆς ἀπώλεσεν ἡδονήν, ἣν ἀνοσίαν ἡγεῖσθε, καὶ φονεύετε. τούτων ἐπει-
δὴ μεταξὺ ὁ ἀρχιμάγειρος ἤκουσε λεγομένων, ἐξάγει τὴν Γαϊανὴν μετὰ καὶ συμ-
παρθένων δύο πρὸς τῇ τοῦ καλουμένου βαθυτάτου ποταμοῦ γεφύρᾳ, ἐφ' ἧς τοὺς
κακούργους κολάζειν εἰώθεισαν, καὶ τὰς πλείους αὐτὸς οἴκοθεν προστίθησι τῶν
βασάνων· ᾤετο γὰρ τῷ βασιλεῖ τὰ μέγιστα χαριεῖσθαι, εἰ σφοδρὸν οὕτω πνεύσειε
κατὰ τῶν παρθένων καὶ μανικόν. καὶ πρῶτα μὲν περιρρήγνυσιν αὐτῶν τὰς
ἐσθῆτας, εἶτα καὶ χεῖρας καὶ πόδας αὐτῶν διατείνας, καὶ κατὰ τοὺς ἀστραγά-
λους διατρήσας, φυσήματος ἐκεῖθεν ἐμπίπλησι δι' αὐλίσκων. ὡς δὲ καὶ τῆς πρὸς
τὴν σάρκα συμφυΐας τὸ δέρμα διέστη, ἀποδέρουσιν οἱ ἄθλιοι τὰς παρθένους,
ὃ μηδὲ φιλάνθρωπος ἂν θεάσασθαι ὑπέμεινεν ὀφθαλμός. αἱ δὲ καὶ οὕτω τὰ
δέρματα ἐκδυόμεναι, ὅμως τῆς θείας οὐκ ἐγυμνοῦντο χάριτος, ὑφ' ἧς καὶ θαλ-
πόμεναι, τὸν ποθούμενον ἐζήτουν Χριστόν, Μνήσθητι καὶ ἡμῶν, φιλάνθρωπε
δέσποτα, λέγουσαι, ὅτι ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν, καὶ ὡς πρό-
βατα σφαγῆς διὰ σὲ ἐλογίσθημεν. ‖ | ὁ δὲ ἀρχιμάγειρος, ἐπειδὴ τὴν δορὰν ἀλύ- 88 **24**
πως οὕτως ἀποθεμένας εἶδεν ὥσπερ ἂν εἴ τις ἱμάτιον ἀποδύσαιτο, καὶ ἅμα καὶ
πρὸς τὸν θεὸν ἤκουσε μεταξὺ διαλεγομένων, κατὰ τὸ Τηριδάτου πρόσταγμα καὶ
τὰς γλώσσας ἐκέλευεν ἐξελεῖν. καὶ δῆτα τοὺς αὐχένας ὄπισθεν αἱ παρθένοι
διατρηθεῖσαι, αὐταῖς ῥίζαις τὰς γλώσσας ἐκτέμνονται. εἶτα καὶ λίθοις, μαχαι-
ρῶν δίκην ἐστομωμένοις καὶ τέμνουσι, τὰς γαστέρας ἀνακοπεῖσαι, καὶ τὴν ἐντὸς
πᾶσαν διάπλασιν πρὸ τῶν ποδῶν χεθεῖσαν ἰδοῦσαι, οὕτω καὶ τὰς κεφαλὰς ἀφαι-
ροῦνται. ἕκτῃ μὲν οὖν καὶ εἰκάδι τοῦ Σεπτεμβρίου μηνὸς ἡ γενναία Ῥιψίμη
τὸν μαρτυρικὸν ἀνείλετο στέφανον, τοὺς ἐπὶ τῇ ἄγρᾳ δὲ τῶν ἐκείνης λειψάνων
ὁρμηθέντας ἡ αὐτὴ μάρτυρας εἶδεν ἡμέρα, τῇ ἑπομένῃ δὲ καὶ ἡ μακαρία
Γαϊανὴ μετὰ τῶν συμπαρθένων τὸ τῆς τελειώσεως ἔδραμον στάδιον. | ἕκτη 89
τοίνυν ἐξ ἐκείνου διῆλθεν ἡμέρα, καὶ ὑπομαραινομένης ἤδη τῷ Τηριδάτῃ τῆς
τῶν ἐρώτων φλογός, μελέτη θήρας αὐτῷ γίνεται καὶ παρασκευή. καὶ ὁ μὲν
ἐπ' ὀχήματος ἐξῄει τῆς πόλεως, ἡ δίκη δὲ οὐκ ἐβράδυνεν, ἀλλά τις αὐτῷ προ-
σπαλαίει μανία, καὶ δαιμονιώτατα οὗτος ἐμαίνετο, καὶ παράφορος ἦν ὅλος ὑπὸ
τῆς νόσου, τῶν ἰδίων τε σαρκῶν παρέτρωγε τοῖς ὀδοῦσι, καὶ εἰς χοῖρον ἤμειψε

33 Psalm μγ 23

17 τὴν in b später nachgeklemmt | 17 ἐκέλευσε b | 18 τῆσ a | 18 φάρυγος c | 19 οὐδὲ γὰρ b | 19 οὔτωσ οὕτωσ $c^{1}$ | 19 ἔλεγεν ἀξίαν a | 20 τὴν▨▨▨▨b | 20 καλὴν hat in b κ von erster Hand auf Rasur, κεφαλὴν c | 21 ἀνοσίως m | 22 ἀρχημάγειρος $a^{1}$ | 23 βαθυτάτου > a | 24 εἰώθασιν a, εἰώθεσαν cm | 25 πνεύσει a | 26 vor τὰς fünf Buchstaben radiert in b | 27 αἰσθῆτασ $a^{1}$ | 27 διατείνει m | 28 καὶ > a | 30 so die Stellung abcm | 34 ἀρχειμάγειρος c | 35 ἂν > b | 36 nach τὸ + τοῦ m | 37 γλώττασ bcm | 38 γλώττας acm [so] | 39 ἐστωμωμένοισ $a^{1}$ | 39 ἐκκοπῆσαι $b^{1}$, ἐκκοπεῖσαι $b^{2}$ | 40 χυθεῖσαν m | 41 nach μηνὸς + ἄγοντοσ b | 42 τοὺς abc, Τὰς m | 43 ὁρμηθείσας $b^{2}$ (Besserung erster Hand) m | 44 συμπαρθένων bcm, συνάθλων παρθένων a | 44 τελεώσεως m | 49 κατέτρωγε b

καὶ τὸ εἶδος. καὶ εἴ τῳ μὴ Ναβουχοδονόσορ εἰς τὴν μορφὴν μεταβαλὼν ταύτην ἠγνόηται, τὸν αὐτὸν μανθανέτω τρόπον καὶ Τηριδάτην τὴν αὐτὴν ἐκείνῳ μεταβολὴν ὑποστάντα, καὶ ταύτῃ τὴν ἀκολασίαν εἰσπραττόμενον καὶ τὸ ἄγος, καὶ οὕτω πικρῶς. καὶ ἦν τὰ ἔξω τοῦ Τηριδάτου χοῖρος, τῆς ἔνδον ὠμότητός τε καὶ τοῦ βορβόρου τῶν ἡδονῶν καὶ τῆς ἄλλης χοιρείας καὶ ψυχῆς καὶ ἀγωγῆς εἰκὼν ἅμα καὶ εἴσπραξις. οὐχ ὁ Τηριδάτης δὲ μόνος ταῦτα ὁ μιαρός, ἀλλὰ καὶ τὸ περὶ αὐτὸν στρατιωτικὸν ἅπαν, καὶ ὅσον ἐν ἄρχουσι, καὶ εἴ τι ἄλλο τοῦ πολιτεύματος τοῖς τετολμημένοις συνήδετο, τῷ αὐτῷ δαίμονι διεπάλαιον. ἦν οὖν καὶ τοῖς κατόχοις τῷ πάθει, ὁπότε καὶ ἀνανήψειαν, πολλὴ τῆς ἀπαλλαγῆς ἡ ἐπιθυμία, καὶ τοῖς οἰκείοις ἡ φροντὶς οὐκ ἐλάττων, τοῦτο μέν, ὥστε μὴ τοῖς ὁμοίοις πε-
25 90 ριπεσεῖν, τοῦτο δέ, ὥστε τῆς νόσου τοὺς προσήκοντας κουφισθῆναι. || | ἐν ᾧ δὲ τοιούτοις ἐξητάζετο πάθεσιν ἡ Ἀρμενία, ὄνειρος τῇ τοῦ βασιλέως ἀδελφῇ Κουσαροδούκτᾳ ἐπιφοιτᾷ. ὁ δὲ ὄνειρος φῶς ἦν, ἀνθρώπῳ τὴν διάπλασιν ἐοικός. ἐδόκει δὲ λέγειν ὡς εἰ Γρηγόριον ἐκεῖνον ὃν παρὰ τῇ πόλει Ἀρταξᾶ τῷ βαράθρῳ καθῆκαν, ἀνιμήσαιντο ἐκεῖθεν, κατὰ πόδας εὐθὺς καὶ λύσις ἀκολουθήσει τῆς συμφορᾶς· εἰ δὲ μὴ ταῦτα, μηδὲ οὕτω ποιητέον αὐτοῖς, ἀλλὰ μὴ ἑτέραν τοῦ κακοῦ θεραπείαν εὑρήσειν. ταῦτα τοῦ ὀνείρου εἰπόντος, παρελθοῦσα εἰς τὸν δῆμον ἡ Κουσαροδοῦκτα — ἐνίκα γὰρ τὴν αἰδῶ ἡ ἐπὶ τῷ ἀδελφῷ λύπη — κοινοῦται τὴν ὄψιν. οἱ δὲ μαίνεσθαι καὶ αὐτὴν οἰηθέντες — ποῦ γὰρ ἂν καὶ ὀστοῦν ἔτι περιλείπεσθαι Γρηγορίου παρ' αὐτοῖς ὅλως ἠλπίζετο; — ἐν χλευασμῷ τοὺς τῆς Κουσαροδούκτας λόγους καὶ γέλωτι ἐποιοῦντο. ἐπειδὴ δὲ τὸ κακὸν ἐπὶ πλέον ἐτείνετο, καὶ ὁ ὄνειρος ἐπιφοιτῶν οὐκ ἀνίει, καὶ ἡ γυνὴ ἐπέ-
91 κειτο σφοδροτέρα. ἀναγκάζουσα τὸν δῆμον εἰς ἔργον ἀγαγεῖν τὴν ὄψιν, | στέλλεταί τις παρὰ τὸ Ἀρταξᾶ φρούριον τῶν ἐπισήμων Αὐταΐας ὄνομα ἀνήρ. τῶν ἐν αὐτῷ τοίνυν ἐφ' ᾧ τε ἥκοι Αὐταΐας, καὶ ἥτις αὐτῷ ἡ χρεία τῆς ἀφίξεως πυθομένων, καὶ γελώντων ἅμα καὶ θαυμαζόντων ὅπως ἐν τοῖς ζῶσιν ἔτι ζητεῖται ὃν οὐδὲ νεκρὸν ἂν ὑπὸ τοῦ μεταξὺ χρόνου ᾤοντο σῶον τηρεῖσθαι, ἀλλ' εἰς κόνιν διαλυθῆναι ἤδη, τὸν ὄνειρον αὐτοῖς ὁ σατράπης (τοῦτο γὰρ ἐτετίμητο Αὐταΐας) καὶ τὸν χρησμὸν διεξήει, καὶ τῷ βαράθρῳ ἐπιστάς, ὀνομαστὶ τὸν Γρηγόριον ἐκάλει. ὁ δὲ εὐθὺς ἀποκρίνεται. καὶ ὡς μόνον ἐκεῖνος τῆς ἀποκρίσεως ᾔσθετο, σχοίνους καθεὶς αὐτίκα, ἐδεῖτο λαβόμενον αὐτῶν ἀνελκύεσθαι· τὸν γὰρ ἐκείνου φησὶ προστάξαι τὴν ἄνοδον θεόν. ἀνελκυσθεὶς τοίνυν τοῖς καλωδίοις ἐκεῖθεν ὁ ἱερὸς Γρηγόριος, ὅλον μὲν τὸ σῶμα ὑπὸ τῆς χρονίας·περὶ τὸν βόρβορον

50 εἴ τῳ bis 51 αὐτὸν aus abc, μετηλλάγη Ναβουχοδονόσορ εἰς τὴν μορφήν, μεταλαβὼν γὰρ ταύτην ἠγνόησεν τοῦτον τὸν m | 50 μεταβαλεῖν b | 54 ἀναγωγῆς a[bc?] | 57 über ἄγοσ a mit ältester Dinte μίασμα | 53 τοῦ > a | 54 zweites καὶ > a | 55 μόνος (später) am Rande b | 56 περὶ αὐτὸν > b | 57 διαπαλαῖον m | 59 ὥστε bis 60 δὲ, beides eingeschlossen, b spät am Rande | 61/62 κουσαροδοῦκτα $a^1$, spät ˜ in ´ geändert | 63 Ἀρταξᾷ m | 63 τῷ > m | 67 κουσαραδούκτα $c^2$m | 67 τὴν nicht von erster Hand aus ἡ a | 70 καὶ > m | 71 κακωσ $a^1$? | 73 τὸ[▲] a [aus τω?], der Gravis von zweiter Hand: τὸ[▲] aus τῶ b | 73 τὸ ἀρταξᾶν $a^2$, τῷ Ἀρταξᾷ m | 73 φρουρίῳ m | 73 vor Αὐταΐας Punkt, vor ἀνὴρ + ὁ m | 75 ϊ von ἔτι jünger auf Rasur b | 77 τοῦτο b, τούτω acm [ῳ] | 78 χρεισμὸν b | 80 Komma nach αὐτίκα bcm, ohne Interpunction a | 80 λαβόμενος m | 81 θεὸν vor προστάξαι bcm | 82 ἐκεῖθεν vor τοῖς 81 bcm | 82 μὲν τὸ¯ b

καὶ τὴν ἰλὺν κακώσεως μεμελάνωτο, ἀλλ' ὕδατι τοῦτον ὡς οἷόν τε ἀπολούσαντες,
καὶ καθαρῶς περιστείλαντες, ἐντίμως ὁμοῦ καὶ σεβασμίως εἰς Οὐαλεροκτίστην
ἄγουσι πόλιν. ‖ | ἐνταῦθα ὁ βασιλεὺς αὐτῷ Τηριδάτης, ὑπὸ χοιρείᾳ τῇ μορφῇ καὶ 92 **26**
τῇ μανίᾳ δὴ καὶ τῇ λύσσῃ, καὶ οἱ σατράπαι καὶ ὅσον ἄλλο πλῆθος ἦν, ὑπαν-
τῶσιν, οὐ χοίρων μέντοι περικείμενοι θέαν καὶ οὗτοι, πλὴν ἀλλ' ὑπὸ τῆς νόσου
καὶ αὐτοὶ μεμηνότες τε καὶ παράφοροι. πεσόντες οὖν πάντες πρὸς τοὺς μακαρίους
ἐκείνου πόδας, ἐξιλεώσασθαι αὐτοῖς τὸ θεῖον, καὶ τῆς τοῦ πονηροῦ δαίμονος
ἐκείνου μανίας καὶ τοῦ κακοῦ ἀπαλλάξαι θερμότατα ἐλιπάρουν. | ὁ δὲ πρὸ τῶν 93
ἄλλων τὰ τῶν ἁγίων μαρτύρων ἐπιζητήσας λείψανα καὶ (ὑποδειξάντων ἐκείνων)
συλλέξας (ἔκειτο γὰρ ἐρριμμένα ἐπὶ ἐννέα ἡμέρας καὶ νύκτας ἴσας, μήτε τι
ἀηδὲς ἀπόζοντα, καὶ κυσὶν ἄθικτα παντάπασι καὶ πετεινοῖς καὶ θηρίοις), ἀ-
νελόμενος τοίνυν αὐτὰ καὶ ἱματίοις ἐνθέμενος τοῖς οἰκείοις, καὶ σὺν τιμῇ πε-
ριστείλας, καίτοιγε αὐτοῦ βασιλέως καὶ τῶν σὺν αὐτῷ ἀρχόντων τὰ πολυτελέ-
στατα τῶν ἱματίων προσφερόντων, ἀποτίθεται τῇ ληνῷ μετὰ τῶν ἐσθήτων, ἥτις
καὶ ζώσας πρότερον τὰς μάρτυρας εἶχε, καὶ ὑπὸ τοῖς παρθενικοῖς ἐκείνων πο-
σὶν ἐπατεῖτο. εὐξάμενος μέντοι παρὰ πᾶσαν τὴν νύκτα, καὶ δεηθεὶς τοῦ θεοῦ,
κατηχητικὸν εἰς τὴν ἐπιοῦσαν πρός τε τὸν βασιλέα καὶ τοὺς περὶ αὐτὸν ἀπο-
τείνει λόγον· καὶ τοῦτο γὰρ εὐχὴ πρὸς τὸν θεὸν αὐτῷ ἦν ὥστε καὶ πρὶν ἢ τὴν
χοιρείαν μορφὴν ἀποθέσθαι Τηριδάτην, λόγου τε λαβεῖν σύνεσιν, καὶ αὐτὰ ἕ-
καστα τῶν λεγομένων συμβάλλειν. ἀλλὰ τότε μὲν τὴν τοῦ θεοῦ δύναμιν καὶ
τὴν περὶ ἡμᾶς κηδεμονίαν ὁ ἱερὸς Γρηγόριος παραστήσας, ὅπως τε παραδόξως
αὐτὸν διεσώσατο (πέρα γὰρ ἀνθρωπίνης τὰ κατ' αὐτόν ἐστι φύσεως. καὶ εἰ μὴ
χάριν ἄνωθεν τῷ Γρηγορίῳ θείαν ἐφίπτασθαι εἴποις, οὐδὲ πιστεῦσαι τούτοις
ῥᾴδιον), | ἔπειτα καὶ τὴν εἰς τὰς ἁγίας παρθένους τόλμαν τε αὐτῶν καὶ ὠμότητα 102
διελέγξας, καὶ διδάξας ὅτι δεῖ πρότερον αὐτοὺς τῆς εἰδωλικῆς ἀποστῆναι πλά-
νης, εἶτα τῷ ἀληθεῖ θεῷ προσελθεῖν, καὶ ὡς εἰ μεταβαλοῦσι τῆς δυσσεβείας,
παρὰ πόδας εὐθὺς καὶ ἡ λύσις ἀκολουθήσει τῆς συμφορᾶς, βραχέα τε περὶ
τῆς κοσμογενείας καὶ τοῦ μέλλοντος αἰῶνος, τοῦ τε κατὰ τὴν καινὴν διαθήκην
μυστηρίου καὶ τῆς πολλῆς πρὸς ἀνθρώπους φιλανθρωπίας διαλεχθείς, προσθεὶς
δὲ καὶ ὡς ἄγγελος αὐτῷ ἐπικαταπτὰς ἄνωθεν ἐν τῷ λάκκῳ παρῆν, ἐνίσχυέ τε
αὐτὸν καὶ κακῶν ἀπαθῆ ἐτήρει, καὶ ὡς οὐδὲ ἀφίστασθαι νῦν ἐθέλει, ἀλλὰ
καὶ ἔτι τοῖς αὐτοῦ ὀφθαλμοῖς ἐπιφαίνεται, ἡδύ τι λίαν καὶ ἐναργὲς ἀπολάμπων,
τέλος δὲ καὶ ναοὺς ἐγεῖραι ταῖς μάρτυσιν ἐπισκήψας, καὶ πολλὰ ἕτερα διεξελ-

83 τούτων m | 84 ἐντίμως ὁμοῦ καὶ σεβασμίως > a | 85 οὐαλλεροκτίστην c, τὴν βασιλείαν m | 87 ἀλλ' > m | 88 καὶ αὐτοὶ > a | 88 nach τε + αὐτοὶ a | 89 ἐκείνου▧ b | 89 ι in αὐτοῖς später in b, aber Circumflex von erster Hand | 90 ἐλιπάρουν acm, ▧παρεκάλουν b | 91 ἐπιζητεῖ m | 92 ἔκειντο bm | 92 ἐρριμέναι c[1], später gebessert: > ganz m | 92 τι > a | 94 ἰδίοις für οἰκείοις m | 94/95 καὶ σὺν τιμῇ περιστείλας > m | 96 ληνῷ a[2]bc, λινῷ a[1], σορῷ m | 96 τῆς ἐσθῆτος m | 97 τὰς acm, τοὺσ b, vielleicht (weil falsch) richtiger | 97 εἶχεν m | 97 καὶ ὑπὸ bis 98 ἐπατεῖτο > m | 98 τὴν c später | 99 οὖν statt εἰς m | 3 παριΐστατο m [so] | 3 ὅπως bis 4 διεσώσατο > m | 4 καὶ εἰ bis 5 Γρηγορίῳ > m | 6 αὐτῶ b | 7 δεῖ spät aus δὴ b | 9 ἀκολουθείσει b[1], von erster Hand gebessert | 10 τῆς für das andere τοῦ m | 10 für διαθήκην bis 11 πρὸς m nur δι' | 13 διετήρει a | 15 τοῖσ c

108 θών. καὶ τοὺς παρόντας μυσταγωγήσας, | ὡς ἤδη πρὸς ἑσπέραν ἦν, τὸν σύλλογον
27 διελύσατο. || τῇ ἑξῆς δὲ νηστείαν μὲν καὶ εἰς ἑξήκοντα ὅλας ἡμέρας τῷ πλήθει
παντὶ παραγγέλλει, αὐτὸς δὲ τά τε προμυσταγωγηθέντα ἐν ταύταις ἀναλαμβά-
νων, καὶ τὰ λείποντα προστιθείς, καί που καὶ βίους τῶν ἀρετῇ διενεγκόντων
εἰς τὸ μέσον παράγων, πρὸς μίμησίν τε τὰς ἐκείνων ψυχὰς διεθέρμαινε καὶ ζῆ-
112 λον. καὶ τοιούτων αὐτοῖς τῶν συνάξεων ἀφθόνως ἀπολαύειν παρεῖχεν. | ἐνταῦθα
καὶ τὴν ὀπτασίαν ἧς μόνος ἐκεῖνος ἠξίωτο, εἰς κοινὴν ἁπάντων ἀκρόασιν πα-
ρετίθει. ἡ δὲ ἦν οὐδεμίαν παραλείπουσα θαύματος ὑπερβολήν, ἀλλ᾽ οἵα ὁρα-
θῆναι μὲν φοβερά, ἐνηχηθῆναι δὲ ταῖς ἀκοαῖς σωτήριος. ἐδόκει γάρ μοι, φη-
σίν, ὁ οὐρανὸς ἀνεῷχθαι, καὶ τὰ ἐν ἀρχῇ ἐναπολειφθέντα τῷ κυρτώματι ὕ-
δατα, ἔνθεν καὶ ἔνθεν διαιρεθέντα, ἐστηριγμένα ἐφ᾽ ἑκατέρου τμήματος μένειν.
μορφὴ δέ τις ἀνθρωπεία, λαμπρὰν οἵαν αἴγλην ἀφιεῖσα, καὶ πολλῷ πάντοθεν
φωτὶ περιλαμπομένη, χρυσῆν τῇ χειρὶ κατέχουσα σφύραν, τὴν γῆν παίειν. φῶς
τε ἄνωθεν ἐκ τῶν οὐρανῶν πυκνὰ ταῖς ἀκτῖσι διᾷττον, τὰ τῆς γῆς πέρατα ἐ-
πλήρου. καὶ δὴ καὶ ὑπόπτεροί τινες στρατιαί, αὐτὴ ἑκάστη φῶς οὖσαι, πρὸς
113 οὐρανοὺς ἐπεδήμουν. | καὶ στύλος πυρὸς ἐπὶ βάσει χρυσῇ ἱδρυμένος εἰς ἐκεί-
νους ἀνέτρεχε. καὶ φῶς πάλιν, ἀλλὰ τὸ μὲν αὐτοῦ τοῦ φωτὸς σχῆμα σταυροῦ
φέρον, τὸ δὲ στύλῳ ὑπερμεγέθει προσεοικὸς ἦν, καὶ τρεῖς ἐλάττονες ἄλλοι στύλοι
ἐπὶ ὁμοίων τῶν βάσεων βεβηκότες ἦσαν. ἀλλ᾽ ὁ μὲν ἐπὶ τοῦ μαρτυρικοῦ τῆς τε
μακαρίας Ῥιψίμης σταδίου καὶ τῶν τριῶν ἐπὶ ταῖς τριάκοντα παρθένοις εἱστήκει,
ἅτερος δὲ ὅποιπερ ἡ γενναία Γαϊανὴ μετὰ τῶν δύο καὶ αὕτη συμπαρθένων τὸν τῆς
84 τελειώσεως ἀνείλοντο στέφανον, | ἐπὶ δὲ τῆς ληνοῦ ἄλλος, ἣ πρότερον μὲν πάσας
ὁμοῦ φευγούσας ὑπεδέξατο τὰς παρθένους, μιᾶς δὲ ὕστερον καὶ οἴνου παντὸς
γλυκύτερον τὸ αἷμα ἐδέξατο· ἥτις ἐπειδὴ νόσῳ κατ᾽ αὐτὴν περιπέσοι, οὐκ ἔχουσα
ὅπως ταῖς ἄλλαις ἕποιτο συμπαρθένοις, αὐτοῦ παρὰ τῇ ληνῷ οἷα βότρυς ὡραῖος
ἱλαρόν τι ταῖς ὄψεσι καὶ ἡδὺ προσβάλλουσα, οὐ ποσὶ δικαίων ἐκθλίβεται, ἀλλὰ
χερσὶν ἀσεβῶν ἀναιρεῖται. ἐπὶ τούτοις πολὺ μὲν πλῆθος πυρίνων θυσιαστηρίων
ἐδίδου βλέπειν ἡ ὅρασις, καὶ σταυρὸν ὕπερθεν ἐφ᾽ ἑκάστου θυσιαστηρίου τῆς
114 αὐτῆς ὕλης διαμορφούμενον. | πηγὴ δέ τις ἐκ τούτων ἔρρει, διειδὲς τὸ νᾶμα καὶ
οὕτω τι ἄφθονον ἐκδιδοῦσα, ὡς ἐπικλύζειν ἅπαν τοῦ ὑποκειμένου πεδίου τὸ
πρόσωπον. ἀλλὰ μὴν καὶ ἀγέλη μοι καθωρᾶτο αἰγῶν ἐν τῷ μέλανι τῶν τρι-
χῶν στίλβουσαι. ἐπειδὴ δὲ τὸ ὕδωρ ἐκεῖνο περάσειαν, ἡ ἰδέα μὲν αὐταῖς εἰς
πρόβατα μετεβάλλετο, τὸ δὲ τῶν τριχῶν μέλαν εἰς λευκότητα χιόνος ἠμείβετο·
εἶπες ἂν ἐν ἀκαρεῖ τὰς μελαίνας ὑπορρεῦσαι, καὶ τὰς ἑτέρας ἀναφῦναι, τὰς λευ-

18 δὲ bcm, τὲ a | 19 καί που > m | 19 vor βίους + τοὺς m | 19 nach τῶν + ἐν a | 20 παράγων bcm, προθείς a | 22 μόνησ b, μόνον m | 23/24 erstes η von ἐνηχηθῆναι von erster Hand auf Rasur b | 25 ἀνεωχθῆναι a | 25 ἐναποληφθέντα a[1], ἀπολειφθέντα b | 28 κατέχουσαν a[1] | 30 καὶ δὴ spät vor der Zeile b | 30 αὐταὶ ἕκασται m | 31 πυρὸσ bcm, χρυσὸσ a | 33 φέρων a[1] | 33 ὑπερμεγέθη a[1], ὑπερμεγέθι a[2] | 35 wie es scheint ῥιψήμησ a[1] | 35 Ἄτερον m | 36 ὅπουπερ a | 36 παρθένων c[1], später gebessert | 37 ἣ b | 40 αι von ἄλλαισ von erster Hand auf was a? | 40 παρθένοισ a | 44 τὸ bc, τε m, τί a | 44 νᾶμα abc, ἅμα m | 46 καθεωρᾶτο m, nicht nothwendig richtiger als mein Text | 46 ἐν > b | 47 Ἐπεὶ m | 49 μέλανασ ac[1]m [ς]

κάς. τὰ μέντοι πρόβατα τίκτειν ἐῴκεσαν, καὶ πολιὰ μὲν καὶ τοῖς νεογνοῖς ἡ θρίξ, τὸ δὲ πλῆθος καὶ ἀριθμὸν καὶ τόπον ὅσον ὀφθαλμὸς ὡρίζετο, ὑπερέβαινον. τίκτεσθαι δὲ καὶ ἀπὸ τῶν ἀρτιτόκων τουτωνὶ πάλιν ἕτερα ἐδόκει. καὶ τινὲς ἄρνες εἰς λύκους μεταβαλόντες, κακῶς τὰ πρόβατα ἐποίουν, καὶ κατεσθίειν τε αὐτὰ καὶ διασπᾶν ὥρμηντο. ἀλλὰ τὰ μὲν αὐτῶν πτέρυγάς τε ἐν τοσούτῳ ἔφυε, καὶ πρὸς τὰς στρατιὰς τοῦ φωτὸς διεπέτοντο, τὰ δὲ ἡλίσκοντο ὑπὸ τῶν λύκων. ἐν τούτῳ πυρὸς ἐκ τοῦ αἰφνιδίου ῥύακες κατὰ τῶν λύκων διεκχυθέντες, ἐνέπιπτόν τε αὐτοῖς καὶ ἐπίμπρων, καὶ οὐκέτι οὐδὲ ἀποδιδράσκειν τούτοις ἐνῆν. ἐπὶ πᾶσι τούτοις στύλοι πεπηγότες ἕτεροι πάλιν ἐκ τῶν νεφῶν ἑωρῶντο, καὶ κεφαλίς, μῆκός τε καὶ πλάτος ὁμοία, θαυμαστὴν οἵα τὴν θέαν παρείχετο. || τούτοις ἐγὼ καὶ τοῖς τοιούτοις, φησί, τὴν διάνοιαν ἐναποπληττόμενος ἦν, 28 μάλιστα, ὅτι καὶ ὑπαινίττεσθαί τινα ἐδόκει τὸ παράδοξον τῆς ὁράσεως. | ἀλλ' 115 ὁ τὴν ἀρχὴν ἐμοὶ συμπαρὼν καὶ τὰ παρόντα ὑποδεικνύων (ἄγγελος δὲ κυρίου παντοκράτορος οὗτος ἦν) αὐτὸς καὶ τὴν ἔκπληξιν εἰς γλυκὺ μετερρύθμιζε θαῦμα. καὶ ὡς ἐδήλου τῶν ὁρωμένων ἕκαστα, διεσάφει. τὸ μὲν γὰρ ἀνεῳγμένον κατὰ δύο τμήματα τοῦ οὐρανοῦ κύτος τὰ τῆς θείας σπλάγχνα φιλανθρωπίας ἐδίδασκεν ὑποφαίνειν, κεκλεισμένα περὶ τὸ οἰκεῖον πλάσμα πρότερον, εἶτα διανοιχθῆναι· τὰ δὲ ὑπὲρ ἄνω τῶν τμημάτων ἐστηριγμένα ὕδατα τὸ μηκέτι τοῖς ἀπὸ γῆς πρὸς τὸν οὐρανὸν διαβαίνειν βουλομένοις μηδὲν ἐμπόδιον εἶναι· αἱ γὰρ καλλίνικοι, φησί, μάρτυρες καὶ ὁ λοιπὸς τῶν συνάθλων χορὸς δι' οὕτω πλατείας τὴν εἰς οὐρανοὺς πορείαν καὶ ἀταλαίπωρον ἐποιήσαντο, ἐγκαινίσασαι ταύτην καὶ προοδεύσασαι. ὁ δὲ τὴν χρυσῆν ἐν τῇ χειρὶ σφύραν ἔχων καὶ πατάσσων τὴν γῆν, τὴν ἐπισκοπὴν οὗτος ὑποφαίνει τὴν θείαν, δι' ἧς ἡ τῶν εἰδώλων μὲν πλάνη ταύτης ἀπελαθείη, ἀντεισενεχθείη δὲ ἡ ἀλήθεια. τὸ δὲ εἰς πᾶσαν τὴν γῆν διαχεθὲν φῶς τὸν πλατυσμὸν τοῦ κηρύγματος τοῦ εὐαγγελίου καὶ τὴν ἐκεῖθεν τὰ σύμπαντα διαλαβοῦσαν ἀστραπήν, τῆς δὲ πρὸς τὰς μάρτυρας συνελεύσεως τῶν ἀγγέλων καὶ τῆς συνδρομῆς καὶ τῆς πρὸς τοὺς ἄλλους ἀνθρώπους ὁμιλίας δι' αὐτῶν καὶ ἀναστροφῆς ἡ τῆς φωτοειδοῦς ταύτης καὶ ὑποπτέρου στρατιᾶς κάθοδος ἐναργές ἐστι τεκμήριον. | ὁ στύλος καὶ ἡ χρυσῆ βάσις, αὕτη τῆς 116 τῶν χριστιανῶν πίστεως τὸ θεοειδὲς ὑποσημαίνει καὶ καθαρόν. τοῦ δὲ τῆς ἱερωσύνης χαρίσματος ὁ τοῦ φωτὸς σταυρὸς σύμβολον, ἐπεὶ καὶ τὴν εἰκόνα φέρει τοῦ πρώτου ἀρχιερέως ὁ ἱερεύς, τοῦ δι' ἡμᾶς καταδεξαμένου τὸν διὰ σταυροῦ θάνατον. ὁ τοῦ φωτὸς στύλος τῆς καθολικῆς εἰκὼν ἐκκλησίας, δι' ἧς εἰς τὸ ἄδυτον φῶς τῆς εὐσεβείας τε ὁμοῦ καὶ τῆς σωτηρίας ἀναγόμεθα. οἱ δὲ τρεῖς βραχύτεροι στύλοι οἱ ἐπὶ βάσεων βεβηκότες τὸν τοσοῦτον ὑπογράφουσι τῶν ναῶν ἀριθμόν, οἳ ἐφ' ἑκάστου τῶν διὰ Χριστὸν ἀποθανεῖν ἑλομένων τῆς τελειώσεως τόπου τὸν θεμέλιον ἐπιβαλοῦσι καὶ ἀναστήσονται. τῆς δὲ ἀνὰ πᾶ-

51 ὑπερέβαινε◺ a[2] | 54 ὥρμῆτο bc | 54 statt τὰ b ταῦτα | 57 ἐπίπρων bm | 59 οἵαν bm | 60 τοῖς > m | 60 Ende + καὶ a | 61 ὑπαινί◺ττεσθαι b | 61 δοξον von παράδοξον jung auf Rasur b | 63 οὗτος > a | 63 μετερύθμιζε ab | 67 τμημάτων bcm, ὑδάτων a | 68 τὸν > a | 68 διαβαίνειν > m | 70 καὶ > m | 73/74 διαχυθὲν τὴν γῆν m | 74 διαχυθὲν ab[m] | 75 τοὺς für τὰς m, vermuthlich richtig, weil falsch | 79 χρηστιανῶν a[1] | 86 τελεώσεως m

σαν τὴν περίχωρον πάλιν τῶν εὐκτηρίων οἴκων οἰκοδομῆς τὰ θυσιαστήρια ταυτὶ ἔλεγε σημεῖον. ὁ δὲ πύρινος σταυρὸς ὕπερθεν. ὅτι τῷ πυρὶ τοῦ παναγίου πνεύματος ἡ ἀναίμακτος ὁλοκαυτουμένη θυσία εἰς μνήμην καὶ δόξαν τοῦ δι' ἡμᾶς
119 σταυρωθέντος ἱερουργεῖται. | ἡ μέντοι τῶν αἰγῶν ἀγέλη καὶ ἡ τοῦ ὕδατος διάβασις ἥ τε εἰς πρόβατα τούτων μεταβολὴ καὶ ἡ τοῦ μέλανος εἰς τὸ λευκὸν τῶν ἐρίων τροπὴ καὶ ὁ πληθυσμὸς τὴν διὰ τοῦ βαπτίσματος τῶν ἁμαρτωλῶν κάθαρσιν καὶ τὴν τῶν ἡμαρτημένων ἄφεσιν, τὴν πρὸς τὴν εὐσέβειάν τε μετάθεσιν καὶ τὸ γονιμώτατον τῶν ἀρετῶν καὶ τὸ εὔκαρπον καὶ τὴν εἰς πλῆθος τῶν εὐσεβῶν ἐπίδοσιν καὶ αὔξησιν προαγγέλλει. ὅσον δὲ καὶ εἰς λύκους μετέβαλε, τὴν εἰς ὕστερον τῶν ψευδοχρίστων κατὰ τῆς εὐσεβείας καὶ τῶν ὁμογενῶν ἐπανάστασιν προσημαίνει. καὶ τοὺς πρὸς ταύτην γενναίως τὴν ἐπήρειαν στησομένους, τούτους φησὶ καὶ πρὸς τὸν οὐρανὸν αὐτὸν ταχεῖ τῷ τῆς πίστεως πτερῷ ἀναπτῆναι καὶ κούφῳ. οἵ γε μὴν τοῦ πυρὸς ῥύακες τὴν ἐκδεξομένην τοὺς ἐπαναστησομένους τῇ εὐσεβείᾳ γέενναν ὑπογράφουσι. τὰ μέντοι θηριάλωτα τῶν προβάτων τοὺς ἀγρευθησομένους ἀθλίως τῇ τοῦ πονηροῦ θήρᾳ δηλοῦν βούλεται. οἱ δὲ ἐπὶ τῶν νεφῶν στύλοι τὴν ἀπὸ γῆς ἄνοδον μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν· ἀρρεπὴς γὰρ ἡ ἀνάβασις καὶ κούφη. τὸ δὲ τῶν δικαίων ὄχημα ἐφ' οὗ εἰς ἀπάντησιν τοῦ κυρίου ἐν τῇ δευτέρᾳ τούτου ἁρπαγήσονται παρουσίᾳ, ἡ ἐπὶ τῶν στύλων κεφαλὶς ἐκείνη ἐστίν. ἱκανὸν τῆς ἀναμενούσης λαμπρότητος τούτους τε-
29 κμήριον. ‖ οὕτω μὲν οὖν ὁ ἱερὸς Γρηγόριος τὴν παράδοξον ἐκείνην θέαν διεξελθών, καὶ εἰς ταῦτα ὑπὸ τοῦ παρεστηκότος ἀγγέλου ἀνενεχθῆναι αὐτὴν φήσας, καὶ ταύτῃ ἐκπλήξας τε ἅμα τοὺς παρόντας καὶ καταθέλξας, τὴν τῶν μαρτυ-
121 ρικῶν λειψάνων μετάθεσιν αὐτοῖς ἐπιτρέπει. | οἱ δὲ πρῶτα μὲν περὶ τὴν τῶν εὐκτηρίων οἴκων οἰκοδομὴν φιλοπόνως πάνυ καὶ φιλεργῶς ἐπονοῦντο, οἱ μὲν λιθοφοροῦντες, οἱ δὲ ξύλα κέδρου, καὶ ταῦτα τῆς εὐώδους, κομίζοντες, καὶ πλίνθους ἄλλοι. καὶ οὕτω διέκειντο, ὥστε καὶ πᾶσα χεὶρ μειονεκτεῖν ἐδόκει, εἰ μὴ τὸ ἴδιον ἑκάστη μέρος ὕλης τῆς καλλίστης εἰς τὴν οἰκοδομὴν ἀποφέροι. καὶ πάντες δὲ οὕτως ἂν εὐδαίμονες ᾤοντο γενέσθαι, εἴ τι πρὸς τὴν τῶν ναῶν οἰκοδομὴν ταῖς μάρτυσι χαρίσαιντο, καὶ ἃς πρότερον ἀγριώτατα — οἴμοι — ἀνεῖλον, ταύτας νῦν τὰ μεγάλα, ὡς ἔνι, τιμῶντες φανεροὶ ἦσαν. τοσοῦτον αὐτοὺς τὸ γλυκὺ ἐκεῖνο τοῦ Γρηγορίου στόμα καὶ ἡ ἐπικαθημένη τοῖς χείλεσι χάρις εἰς τιμὴν τῶν μαρτύρων ἐπῆραν. ἀλλὰ θεὸς κἀνταῦθα ἦν τὴν εἰς αὐτὸν εὔνοιαν τῶν παρθένων σὺν πλείονι ἀμειβόμενος, ὁ μηδ' ἐν τοῖς δεινοῖς μέσοις μηδ' ἐν αὐτῷ τῷ λάκκῳ τοῦ οἰκείου διαστὰς Γρηγορίου. ἀλλ' οὗτος μὲν ὁ θεῖος Γρηγόριος. ἵν' ἐπὶ τὰ ἑξῆς τὸν λόγον ἀγάγωμεν, σπαρτίῳ τὴν οἰκοδο-

4 Thessal α 4, 17

87 οἴκων > m | 89 ἀνέμακτος a[1] : ἀναίματος b[1], später gebessert | 91 ἡ von erster Hand auf etwas Anderem b | 96 εἰς > b: steht in c wie das folgende ὑ (nicht der Acut) von erster Hand auf Rasur | 96 ψευδοχρ◣ίστων c | 97 ὑ von τοὺς später [?] über der Zeile c | 99 καὶ später über der Zeile b | 2 νεφελῶν b | 3 τῶν > a | 3 σχῆμα a | 7 αὐτὸν a | 8 τε bis καταθέλξας > m | 12 πλήνθους a[1] | 12 μειωνεκτεῖν a[1], scheinbar μεισινεκτεῖν a[2] | 13 τῆς καλλίστης ὕλης a | 15 μάρτυσιν b | 16/17 ἀυτοῖς a | 19 σὺμ b[1], zurecht radiert, der Gravis jünger | 20 δια◣◣◣στὰς b

μὴν ὑπέγραφε καὶ προετυποῦτο, οἱ οἰκοδομικοὶ δὲ εὐθὺς ἔργου εἴχοντο, καὶ οἱ τέκτονες πάλιν σοροὺς κέδρου, ξύλου τοῦ καλλίστου, ἐποίουν. ἐπειδὴ δὲ ταχὺ τῶν σορῶν ἑκάστη συναρμοσθείη, ἀλλ' ἐνταῦθα καὶ βασιλέα ὁ θεῖος Γρηγόριος καὶ τοὺς ἐν τέλει ἀπείργει τῆς ὑπουργίας, Οὐκ ἔξεστιν ὑμῖν, εἰπών, οὐδὲ χεῖρας τοῖς μαρτυρικοῖς λειψάνοις ἐπιβαλεῖν οὐδὲ πλησιάσαι, ἐπὶ τοῦ αὐτοῦ ἔτι μένουσι πάθους, καὶ μηδὲ τοῦ θείου ἀξιωθεῖσι βαπτίσματος. ἀλλ' ἐγώ, φησί, ταῖς ἐμαυτοῦ χερσὶ τῇ καταθέσει διακονήσομαι. καὶ ὁ μὲν περὶ τὴν ταφὴν εἶχε, καὶ ταύτῃ ἐσχόλαζε φιλοτίμως, Τηριδάτης δὲ καὶ ἡ σύζυγος καὶ τὸ γένος, ἀλλὰ μὴν καὶ οἱ ἐν τέλει, καὶ τὸ πλῆθος ἅπαν, στολάς τε πολυτελεῖς καὶ κατάστικτα χρυσῷ περιβλήματα καὶ χρυσὸν δὲ αὐτὸν καὶ μύρα πρὸ τῶν θυρῶν τῆς ληνοῦ ἐτίθεσαν φέροντες. τὰ τῶν τριῶν τοίνυν μαρτύρων λείψανα ταῖς τοσαύταις σοροῖς ὁ ἱερὸς Γρηγόριος παρὰ τῇ ληνῷ κατακρύψας, καὶ τελεσάμενος ἐπὶ τῇ ἑορτῇ τὰ εἰκότα, ἐπειδὴ πρὸς ταῖς θύραις γένοιτο, καὶ τὰ προσενεχθέντα 122 ἴδοι, ὑπερήσθη μὲν τῇ ἐκείνων γνώμῃ, ταῦτα δὲ οὐ προσήκατο, ἀλλὰ δεῖν αὐτὰ παρὰ τοῖς προσενεγκοῦσι κεῖσθαι εἶπεν, ἕως ἂν τά τε ἱερὰ τεμένη τέλεον οἰκοδομηθείη, καὶ αὐτοὶ διὰ τοῦ βαπτίσματος τὸν τῆς ἀσεβείας μολυσμὸν ἀπολούσαιντο. | Τηριδάτης μὲν οὖν τὴν χοιρείαν ἔτι μορφὴν περικείμενος, ἐδεῖτο 123 ἀπὸ καρδίας τοῦ ἁγίου, μέρος γοῦν τὸν ἐκείνου ἄνθρωπον ἐκκαλυφθῆναι, εἰ καὶ μὴ ὅλον, Ἀνάξιός εἰμι, λέγων, τὸ τῆς αἰσχύνης ἀποδύσασθαι προσωπεῖον, καὶ τὸν ἐμὸν σύμπαντα Τηριδάτην ἐπὶ τῆς μορφῆς καὶ νῦν τῆς προτέρας ἰδεῖν. ἀλλὰ τοὺς πόδας, ἀλλὰ τὰς χεῖρας παραμύθησαί τι τῆς συμφορᾶς, ὅπως αὐτουργὸς εἴην καὶ αὐτὸς τῆς οἰκοδομίας. ‖ ἔλεον τοίνυν αὐτοῦ λαβὼν ὁ μέγας **30** Γρηγόριος, αὐτός τε ἱκέτης τοῦ θεοῦ γίνεται, καὶ πρεσβείαν αὐτῷ τὰς μάρτυρας πέμπει. καὶ τὰς χεῖρας εὐθὺς ὁ Τηριδάτης καὶ τοὺς πόδας ἄνθρωπος ἦν, καὶ τῆς εὐεργεσίας ἐμέμνητο καὶ χάριτας ἀπεδίδου, αὐτουργὸς ὢν τοῦ ὀρύγματος ἐν ᾧ τὰς σοροὺς ἔμελλον καταθεῖναι. | ὁ μὲν οὖν ὀρύττων ἀνέβαλλε τὴν 124 γῆν πρὸς τὰ ἄνω, ἡ βασιλὶς δὲ Ἀσιχήνη (τοῦτο γὰρ ἦν ὄνομα τῇ συζύγῳ) καὶ ἡ ἀδελφὴ Κουσαροδοῦκτα αἰτηθὲν πρὸς τὸν θεῖον Γρηγόριον ὑπὸ Τηριδάτου, τοῖς ἰδίοις χιτῶσι τὸν χοῦν ἐξεφόρουν. ὡς δὲ καὶ τῷ τῶν σορῶν μεγέθει ἀνάλογον τὸ ὄρυγμα γένοιτο, λίθους ὁ βασιλεύς, μέγεθος οἷον οὐκ ἂν ἕτερος ἄροιεν, ἀπέφερε πρὸς τὴν οἰκοδόμησιν. εἶτα καὶ τὰ θυρώματα τῶν ναῶν καὶ τοὺς παραστάδας καὶ τὰ ὑπέρθυρα οὐχ ἑτέρων χερσὶ πιστεύων, ἀλλ' αὐτὸς διανατιθέμενος, ἐπὶ τῶν ὤμων ἐκόμιζεν· ἤδη γὰρ τὸν τέλειον τῆς οἰκοδομῆς καὶ οὗτοι ἀπειλήφεσαν κόσμον. ἑξῆς δὲ λαμπάδας ἀναψάμενοι καὶ κηρούς, | τὰς τρεῖς 125 μεταφέρουσι τῶν μαρτύρων σορούς. καὶ ταύτας ὁ ἴδιος ἑκάστην ὑποδέχεται τόπος. καὶ ὁ θαυμαστὸς Γρηγόριος τὸ τοῦ δεσποτικοῦ πάθους σύμβολον, τὸν

22 οἰκοδόμοι m | 23 τοῦ καλλίστου ξύλου a | 30 στολά..σ b | 32 λείψανα bcm, σώματα a | 33 ἡ von τῇ jünger auf Rasur b | 39 τὸν bcm, τῶν a | 39 ἐκκαλυφθῆναι m | 40 ἄξιός c, Ἄξιος οὐκ m | 46/47 ὁ von ὀρύγματος später auf Rasur b | 47 ἔμελλε m | 47 ὁ ab[1]cm, οἱ b[2] | 47 ὤρυττον b[2]: danach + ὁ δὲ b[1], wo b[2] einklammert | 48 βασιλὴς b[1] | 48 τε für δὲ b[1] | 48 ἀσιχίνη b[2] | 49 αἰτηθὲν und 52 ἄροιεν alle Zeugen | 53 Anfang τὰς m | 55 ἀπειλήφασι a | 55 ἀνα...ψάμενοι b

σεβάσμιον τοῦ Χριστοῦ σταυρόν, ἑκάστη τούτων ἐφίστησιν. οὐχ οἱ τρεῖς δὲ οὗ-
τοι ᾠκοδόμηντο ναοὶ μόνοι, ἀλλὰ καὶ ὁ τούτων τὸ μέγεθος ὑπερανεστηκώς, ὃν
καθολικὴν ἐκκλησίαν καὶ ἡ θέα μόνον ὠνόμαζε. καὶ τούτῳ ὑψηλὸν περιῳκο-
δομήσαντο τειχίον, ἄβατον τοῖς πολλοῖς καὶ αὐτὸν δήπου τὸν πλησίον θέμενοι
τόπον. κἀνταῦθα τοίνυν τὸν σωτήριον ὁ μάρτυς σταυρὸν ἵστησι, καὶ κελεύει
τὸ πλῆθος ἐκεῖ συνεχὲς ἐπιχωριάζοντας καὶ ἀπαντῶντας σὺν προθυμίᾳ προσά-
γειν τῷ θεῷ τὸ σέβας διὰ τῆς τοῦ σταυροῦ προσκυνήσεως. καὶ ταῦτα ἔπραττ-
τον, οὐ προστάγματι μόνον ὑπηρετούμενοι, ἀλλὰ καὶ πίστιν οἴκοθεν ἤδη καὶ
νηστείας καὶ προσευχάς, ὥσπερ ἀπὸ καλῶν σπερμάτων τῶν τοῦ Γρηγορίου λό-
126 γων καὶ αὐτοὶ φύοντες. | ὁ δὲ εἰς μέσους τότε παρελθὼν τοὺς συνειλεγμένους,
ἐκτενεστέρᾳ δίδωσιν ἑαυτὸν μετὰ τοῦ πλήθους εὐχῇ. καὶ πάντων τὴν εἰς τὸν
ἀρχαῖον Τηριδάτην ἐπάνοδον τῷ βασιλεῖ Ἀρμενίας αἰτούντων, ὁ τοὺς φοβου-
μένους αὐτὸν ὥσπερ τέκνα πατὴρ οἰκτείρων θεὸς κραταιοῖ κἀνταῦθα τὸν ἔλεον,
καὶ αὐτόν τε τὸν ἔξωθεν ἐπικείμενον τῷ Τηριδάτῃ ἀφαιρεῖ χοῖρον, καὶ τὸν
31 πονηρὸν σύνοικον ἔνδοθεν ἀπελαύνει. ‖ καὶ οὐ μέχρι τούτου τὸν ἔλεον ἵστησιν,
ἀλλὰ καὶ πρὸς τοὺς ἐν τέλει καὶ τὸ στρατιωτικὸν διαβαίνει, καὶ βαθείας καὶ αὐ-
τοῖς γαλήνης ἀπέλαυσεν ἡ ψυχή, τῆς τοῦ μιαροῦ δαίμονος ἐπηρείας ἀπαλλα-
γεῖσα. ἐνταῦθα καὶ μυρίον ἄλλο πλῆθος τὴν σωτηρίαν εὑρίσκει, καὶ λεπροὶ
καὶ παρειμένοι καὶ ὑδεριῶντες καὶ λελωβημένοι, καὶ ὅσους ἄλλο τι κακὸν ἐπίεζε,
πάντα ἐκεῖθεν ἀποτίθενται. καὶ τὰ ἐπὶ τῶν ψυχῶν οὐδὲν ἧττον στίγματα καὶ
τὰς κηλῖδας συναποβάλλουσι, καὶ μετὰ πολλοῦ κέρδους μετὰ πολλῆς ἐπα-
νήκουσι τῆς ἡδονῆς, οὐ σωμάτων μόνον, ἀλλὰ καὶ ψυχῶν θεραπείαν τρυγή-
σαντες. ἔνθεν τοι καὶ συνέρρει πρὸς τὸν ἅγιον πανταχόθεν τὰ πλήθη, μυη-
θῆναί τε τὴν εὐσέβειαν ὑπ᾽ αὐτοῦ ζητοῦντες, καὶ τῶν οἰκείων τοῖς κάμνουσιν
128 ἀκίνητον δρέψασθαι καὶ ἀσφαλῆ τὴν παραμυθίαν. | ὁ μέντοι βασιλεὺς Τηριδά-
της, καὶ ὅσον ἐν τέλει, οἱ ἐν στρατιᾷ τε, καὶ ὅσον ἄλλο τὴν Ἀρμενίαν ᾤκει,
τὰς τῆς εὐσεβείας ἀκτῖνας ἐν τῷ τῆς καρδίας προθύμως ὑποδεξάμενοι βάθει
καὶ ὑγιεῖ τῷ τῆς ψυχῆς ὄμματι καὶ καθαρῷ βλέψαντες, οὐκ ἤνεγκαν τὸ μὴ
καὶ τὰ τῆς ἀπάτης καταγώγια ἐξ αὐτῶν ἀνασπάσαι κρηπίδων, ἀλλ᾽ ὀφθαλμοῖς
129 ταῦτα ὁρᾶν οἷς καὶ τὴν ἀλήθειαν εἶδον, ἀμέλει καὶ σὺν Γρηγορίῳ τοὺς τῶν
Ἑλλήνων νεὼς καὶ τοὺς βωμοὺς περιστάντες ἐπολιόρκουν, κατέσειον, ἀνώρυττον
τὸ ἔδαφος, ἐξεκάλυπτον τοὺς θεμελίους, πρὸς αὐτὰ ἔνδον ἐβάδιζον τῶν χρη-
μάτων τὰ ταμιεῖα, ἀφῃροῦντο τὸν πλοῦτον, ἐξεφόρουν τοὺς θησαυρούς, πάντα
διηρευνῶντο, μὴ λάθῃ τούτους μηδὲ βραχὺ λείψανον τῆς ἀσεβείας καταλειφθέν.
130 | εἶτα ἱερὰ τῷ θεῷ καὶ τοῖς αὐτοῦ μάρτυσι τεμένη ἀντῳκοδόμουν, καὶ τειχίοις
ἔξωθεν περιελάμβανον, καὶ τὸν ἐκείνων πλοῦτον αὐτοῖς καὶ τὰς πολυτελεῖς

69 Psalm ρβ 13

58 σταυροῦ b[1] | 58 ἑκάστη m | 59 μόνον a[1] | 60 ὠνόμαξε b[1]? ζ halb auf Rasur | 61 nach τειχίον + καὶ m | 62 ἵστισι a[1] | 63 συνεχῶσ b | 63 συμ a[1]b[1]b[3]c[2], σὺμ b[2]c[1] | 68 Ende τὸ a | 69 αἰτούτων b[1], später gebessert | 71 ἀφαιρεῖται a | 73 erstes καὶ > a | 74 δαίμονωσ b[1] | 78 nach πολλοῦ + τοῦ a | 86 τῆς > m | 88 νεῶσ bc, ναοὺσ a, θεοὺς καὶ ναοὺς m | 88 κατέσιον a | 90 τὰ > b[1] | 93 παρελάμβανον m | 93 πολυτελησ b[1]

ἐσθῆτας καὶ τὰ κτήματα καὶ τοὺς θησαυροὺς ἀνετίθεσαν, καὶ τὴν ἄτιμον πρό-
τερον ὕλην καὶ περιττὴν ἐνεργὸν ἐντεῦθεν καὶ ὠφέλιμον ἐποιοῦντο. οὕτω μὲν
οὖν οὐδὲ οἱ παρὰ τοῖς βωμοῖς ἐκείνοις καὶ τοῖς ναοῖς διατρίβοντες μιαροὶ δαί-
μονες ἀγαθόν τι ἀπέλαυσαν τῆς συνοικίας, ἀλλὰ διωγμῷ καὶ αὐτοὶ χαλεπωτάτῳ
ἠλαύνοντο, καὶ τὴν ἄμαχον τοῦ θεοῦ ἡμῶν δύναμιν καὶ τὴν ἐξουσίαν δεδιότες,
πάνυ σφόδρα καὶ ὑποτρέμοντες ἐβόων. ‖ οὐχ ἡ Ἀρμενία δὲ ταύτῃ μόνον θερ- 32
μότερον πρὸς τὴν εὐσέβειαν διεκινοῦντο καὶ ἠρεθίζοντο, ἀλλὰ πολλὰ καὶ τῶν
προσοίκων ἐθνῶν ἐπὶ τὸν ὅμοιον ἐχειραγωγοῦντο ζῆλον. | μέγα δὲ μέρος πρὸς 131
τὴν εὐσέβειαν ἐγένετο καὶ ὁ βασιλεύς, ὑπὸ τῇ πάντων ὄψει καὶ ἀκοῇ τήν τε
προτέραν ἀσέβειαν διεξελθών, τὴν οἰκείαν τε κατὰ τοῦ μεγάλου Γρηγορίου ὠ-
μότητα καὶ μιαιφονίαν ἐλέγξας, τῆς κατὰ τῶν καλλινίκων τε παρθένων ἀπη-
νείας καὶ τῆς σφαγῆς καὶ τοῦ ἀγρίου ἐκείνου μνησθεὶς ἔρωτος, οἵας τε τού-
των ἔτισε δίκας εἰπών, μηνίσαντος αὐτῷ τοῦ θεοῦ, καὶ ἡλίκης πάλιν ταῖς τοῦ
θαυμαστοῦ Γρηγορίου πρεσβείαις τῆς χρηστότητος καὶ τῆς εὐεργεσίας ἀπολε-
λαύκει. ταῦτα ὁ βασιλεὺς ἐπὶ μέρους ἕκαστα διεξιών, ἀγαθὸν πολλοῖς ὑπό-
δειγμα ἦν, καὶ πολλοὺς ἐπὶ τὴν ὁμοίαν γνώμην ἀνέφλεγε καὶ ἐξῆπτε. τοιοῦτον
γὰρ ἡ ἐξουσία· συμμορφοῦται ἀεὶ ταύτῃ τὸ ὑποχείριον, τῶν αὐτῶν τε φιλεῖ ἐρᾶν
κἀκεῖνα ἐπιτηδεύειν οἷσπερ ἂν τὸν ἄρχοντα αἴσθηται χαίροντα. ἐντεῦθεν δὴ
καὶ κατὰ πῆχυν αὐτοῖς (ὃ δὴ λέγεται) ἡ εὐσέβεια ηὔξανέ τε καὶ ἐπεδίδου·
| ὅθεν καὶ τὸν μέγαν Γρηγόριον προστάτην τῆς παρ᾽ αὐτοῖς ἐκκλησίας ἐσκέψαντο 134
ἀναδεῖξαι, ὅπως ὃν πρότερον εὗρον τῆς σωτηρίας τῆς ἑαυτῶν οἰκονόμον, τὸν
αὐτὸν καὶ κυβερνήτην ἔχοιεν τοῦ λοιποῦ, καὶ οὗτος αὐτοὺς εἰς τὸν λιμένα τοῦ
θεοῦ καθορμίσειεν. ὁ δὲ τό τε τῆς ἀρχῆς ὕψος τό τε τῶν φροντίδων βάρος
ἐννοῶν, καὶ ὅτι ἁπαλὸν ἔτι τὸ φυτὸν τῆς πίστεως ὄν, πολλῆς μάλιστα τῆς ἐπιμε-
λείας, καὶ ἀφθονωτέρας δεῖται τῆς ἀρδείας, ὤκνει τε τὴν προστασίαν τῆς ἐκ-
κλησίας καὶ ἀνεβάλλετο, | ἕως ὄψις ἄγγελον κυρίου αὐτῷ τε βασιλεῖ Τηριδάτῃ 135
καὶ τῷ μεγάλῳ Γρηγορίῳ δεικνῦσα, τῷ μέν, ἔχεσθαι τοῦ σκοποῦ, τῷ δέ, τὴν
ἀρχιερωσύνην ἀναδέξασθαι παρηγγύα. καὶ δῆτα ὁ βασιλεύς, ἐπειδὴ κατανεύ-
οντα εἶχε τὸν πρότερον ἀπειθοῦντα, ἑκκαίδεκα τῶν ἐν τέλει τοὺς ἀξιολογωτά-
τους ἀπολεξάμενος, εἰς Καισάρειαν τὴν ἐν Καππαδοκίᾳ τῷ Γρηγορίῳ συναπο-
στέλλει, ἐφ᾽ ᾧ παρὰ Λεοντίου (ἀρχιερατεύων γὰρ τότε περὶ αὐτὴν οὗτος ἦν)
τὸ τῆς ἀρχιερωσύνης χάρισμα δέξαιτο, γράφας αὐτῷ καὶ ἐπιστολὴν ἔχουσαν
ὧδε. | Σκότος ἡμᾶς ἐκ πολλοῦ βαθὺ καὶ ἁμαρτιῶν τε τῶν ἄλλων ἐκάλυπτε καὶ 136 33
ἀσεβείας. ἐντεῦθεν οὐδὲ πρὸς τὴν ἀλήθειαν διαβλέψαι καὶ τὸν κοινὸν ἁπάν-
των δημιουργὸν καταμαθεῖν ἠδυνάμεθα. ἀλλὰ καὶ ἄλλον ἡμῖν ἐπὶ τῆς γῆς

94 ◣κτήματα b | 96 τοὺς βωμοὺς ἐκείνους καὶ τοὺς ναοὺς m | 96 nach ναοῖς in b acht Buchstaben radiert | 99 πάνυ wohl b¹, πάλιν b² | 100 διεκινεῖτο καὶ ἠρεθίζετο m | 1 nach ἐθνῶν später im Intercolumnium γένη + b | 4 τε > b | 6 schließendes σ von μηνίσαντοσ weit später in b | 7 erstes τῆς bis εὐεργεσίας > m | 7 πρεσβείαις bis εὐεργεσίας nicht von erster Hand auf Rasur b | 9 οἰκείαν für ὁμοίαν m | 11 δὴ > m | 13 πρὸς τά◣τη¯ b, wo auch das andere τ auf Rasur, ` radiert, ´ später | 13 τῆσ jünger auf ταῖσ b | 15 ἔ◣χοιεν b | 17 ω (nicht ˜) von ἐννοῶν von erster Hand auf etwas anderem b | 17 ἔτι > a | 19 ἀγγέλου a | 19 vor βασιλεῖ + τῷ m | 29 βαθὺσ cm | 27 κοινὸν > b | 27/28 δημιουργὸν ἁπάντων b | 28 ἐδυνάμεθα m

ἥλιον τὸν μέγαν Γρηγόριον ἀποστείλαντος, καὶ παρθένους ἀναδείξαντος ἁγίας,
ὥστε δι᾽ αὐτῶν καὶ ἡμᾶς τὴν ἐκείνου χρηστότητα καὶ τὴν φιλανθρωπίαν ἐπιγνῶναι,
ἡμεῖς καὶ τὸν ἱερὸν — οἴμοι — τοῦτον Γρηγόριον καὶ τὰς τιμίας ἐκείνας παρθέ-
νους ἀγριώτατα ὑπὸ μανίας ἐτιμωρησάμεθα· καὶ τὰς μὲν ἐλεεινῶς — φεῦ —
ἀνείλομεν, οὗτος δὲ τῇ ἀμάχῳ τοῦ θεοῦ δυναμούμενος ἰσχύι, διὰ τέλους πρὸς
τὴν ἡμετέραν ὠμότητα καὶ τὰς ἐπιβουλὰς ὑπερέσχεν. ἀλλ᾽ οὐδὲ οὕτως ἡ ἐκείνου
τῶν οἰκτιρμῶν ἄβυσσος καὶ τὸ ἄπειρον τῆς εὐσπλαγχνίας πέλαγος ἀπολλυμένους
ἡμᾶς περιεῖδεν, ἀλλὰ ταῖς τοῦ θείου τούτου Γρηγορίου διδασκαλίαις καὶ προ-
σευχαῖς καὶ ταῖς τῶν καλλινίκων ἐκείνων παρθένων καὶ μαρτύρων πρεσβεί-
αις τὴν παχεῖάν τε ἀχλὺν ἐκείνην τῶν ἡμετέρων τῆς ψυχῆς ὀφθαλμῶν περιεῖλε,
καὶ πρὸς τὸ τῆς ἀληθείας φέγγος καὶ τὴν ἐκείνου ἐπίγνωσιν καὶ τὴν πίστιν
ἐχειραγώγησε. τὸν γοῦν τηλικούτου ἡμῖν ἀγαθοῦ ὑπάρξαντα αἴτιον καὶ ὁδηγὸν
ἀπλανῆ καὶ οἰκονόμον τῆς ἡμετέρας σωτηρίας γεγενημένον, τοῦτον διδάσκαλόν
τε καὶ ποιμένα τοῦ λοιποῦ βίου καὶ τῆς ἀρετῆς οὐχ ἡμεῖς εἰλόμεθα μόνον,
ἀλλὰ καὶ θεία ὄψις τὴν τοιαύτην ψῆφον ἐπεσφραγίσατο ἄνωθεν. δι᾽ ἧς ἐπινεύ-
σαντα καὶ αὐτὸν τῇ ὑμετέρᾳ ἐπέμψαμεν ὁσιότητι, ὥστε παρὰ τῆς σῆς καὶ χειρὸς
καὶ γλώττης τελεσθῆναί τε αὐτὸν τὰ τῆς ἀρχιερωσύνης, καὶ θᾶττον ἡμῖν τῷ
**34** 138 ποιμνίῳ ἀποδοθῆναι. ‖ | ταύτην ὁ Λεόντιος δεξάμενος τὴν ἐπιστολήν, φιλοτίμως τε
τὸν μέγαν Γρηγόριον ὑποδέχεται καὶ τοὺς πρέσβεις, καὶ σὺν ἅμα ἐπισκόποις
τοῖς παροῦσι χειροτονήσας αὐτόν, μετὰ τῆς ἴσης φιλοφροσύνης τε καὶ τιμῆς ἀ-
ποπέμπει. ἐπανιὼν τοίνυν ἐκεῖθεν ὁ θεῖος Γρηγόριος, οὓς ἂν κατὰ τὰς παρα-
κειμένας τῇ ὁδῷ πόλεις ἴδοι ἱερωθῆναί τε ἱκανοὺς καὶ τὸν τῆς διδασκαλίας
πιστευθῆναι λόγον ἐπιτηδείους, τὰ δέοντά τε αὐτοῖς παρήνει, καὶ παραλαμβά-
νων ἐπήγετο τούτους, συλληψομένους τε αὐτῷ τὰ τῆς εὐσεβείας καὶ ἱερουργοὺς
140 αὐτῆς τε Ἀρμενίας καὶ τῶν προσοίκων πόλεων ἐσομένους. | ἄρτι δὲ τῶν τῆς
Ἀρμενίας ἐπιβάντι ὁρίων, ναός τις αὐτῷ ἐκ γειτόνων ὑπολελεῖφθαι ἀγγέλλεται
Ἡρακλέους, τοῦ ποταμοῦ Εὐφράτου ὑπερκείμενος, καὶ βωμός τε παρ᾽ αὐτῷ
εἶναι, ἔνθα καὶ θυσίας δαίμοσι καὶ Ἡρακλεῖ τελεῖσθαι συνέβαινε. τοῦτον τοί-
νυν καταλαβὼν τὸν ναόν, εὐχῇ μόνῃ (οὐ γὰρ ἀνθρωπείας τις αὐτῷ ἐπέβαλε
χεῖρας), τῶν ἐν αὐτῷ δαιμονίων μηχανῇ τῇ πάσῃ καὶ φάσμασι πρὸς τὴν κα-
ταστροφὴν ἀπομαχομένων, αὐτοῖς ἀνατρέπει θεμελίοις, καὶ ἕτερον ἀντίρροπον
141 τῷ κυρίῳ ἐγείρει. | καὶ λείψανά τε αὐτῷ τοῦ προδρόμου καὶ βαπτιστοῦ καὶ τοῦ
μάρτυρος ἐναποτίθησιν Ἀθηνογένους· ταῦτα γὰρ ἐπεφέρετο. εἶτα καὶ θυσιαστή-
ριον ἱερουργεῖ, τὰς ἀναιμάκτους τε θυσίας ἐν αὐτῷ προσφέρει θεῷ. καὶ τοὺς
μετ᾽ αὐτοῦ σατράπας βαπτίζει πρώτους. ἑξῆς δὲ εἴκοσιν ἡμέρας ἐκεῖ διατρίψας,
εἰς πλείους τῆς μιᾶς πρὸς ταῖς δέκα μυριάσι τοῦ θείου βαπτίσματος ἀξιοῖ,
ἑβδόμῃ τοῦ Ὀκτωβρίου ἑορτὴν ἄγειν κελεύσας (ἐν αὐτῇ γάρ που καὶ θυσια-

30 χρηστότα a | 30 das andere τὴν > a | 31 οἴμοι > a | 31 in ἐκείνας nach α eine kleine Rasur a | 35 πέλαγος > b | 38 τε > a | 40 τηλικούτων und ἀγαθῶν a | 44 das andere καὶ > a | 46 ὁ > a | 46 τε > m | 49 θεῖος abc, μέγας m | 50 τῆσ ὁδοῦ a | 51 ἐπιτηδίουσ a[1] | 53 τε αὐτῆσ a | 54 τι a[1] | 54 ἐν für ἐκ m | 63 εἴκοσιυ [so] a[2], wo υ auf Rasur: über υ ein c | 64 μυριάσιν a | 65 ὀκτωμβρίου b[1]? jetzt ὀκτω.βρίου b

στήριον πρῶτον ἱερώσατο τῷ θεῷ), ἱερεῖς τε καθίστησι καὶ Λευίτας, καὶ τὴν
περίχωρον πᾶσαν ἐκκλησίαις καὶ πρεσβυτέροις καὶ διακόνοις διαλαμβάνει.
|| | ὁ δὲ τῶν Ἀρμενίων βασιλεὺς Τηριδάτης, πλησιάζειν ἤδη τὸν ἀρχιερέα μα- 144 **35**
θών, σὺν ταῖς παρούσαις δυνάμεσι καὶ τῇ συζύγῳ καὶ τῇ ἀδελφῇ προϋπαν-
τῶσι παρὰ τὴν τοῦ Εὐφράτου ὄχθην. καὶ ἡδύ τε ἀλλήλους ὁρῶσι, καὶ σὺν ἡ-
δονῇ ἀσπάζονται, καὶ μεστοὶ εὐφροσύνης ἦσαν. | ἀλλ᾽ ὁ μὲν τὴν τῶν ἀποστόλων 147
ἐπεδείκνυτο διδασκαλίαν, οἱ δὲ σπουδαίως τε ἤκουον, καὶ θερμότατα περὶ τὴν
ἀκρόασιν εἶχον. εἰς τριάκοντα τοίνυν ὅλας ἡμέρας νηστείαν αὐτοῖς καὶ προ-
σευχὴν ἐπιτρέψας, ἀπ᾽ αὐτοῦ τε ἄρχεται βασιλέως, τῆς βασιλίδος τε καὶ τῆς
ἀδελφῆς· καὶ διὰ τῶν ἐν τέλει καὶ διὰ πάντων ἐλθών, ἐν τῷ Εὐφράτῃ βαπτί-
ζει πάντας, καὶ φωτὸς υἱοὺς ἀναδείκνυσι καὶ ἡμέρας. εἶθ᾽ ἑξῆς ναὸν παρὰ τῷ
Εὐφράτῃ ἄλλον ἐγείρει, καὶ τὰ μυστήρια ἐπ᾽ αὐτῷ τελεῖται τὰ θεῖα, καὶ τὰ
εἰκότα ἱερουργεῖ. | θεὸς δὲ οὐδὲ ἐνταῦθα τῶν οἰκείων περὶ αὐτοὺς ἠμέλει 148
θαυμάτων, ἀλλ᾽ οἱ μὲν ἐβαπτίζοντο ἐν τῷ Εὐφράτῃ, τὸ ῥεῖθρον δὲ αὐτῷ ἐπεί-
χετο, καὶ φωτὸς βεβηκέναι στύλος ἐπὶ τῶν ὑδάτων ἐδόκει, αὐτὴν τὴν τοῦ ἡλίου
ἀκτῖνα κατά γε τὸν τῆς λαμπρότητος λόγον πολλῷ τῷ μεταξὺ παριών. συνανέ-
τελλε δὲ αὐτῷ ἐπὶ τῆς κεφαλῆς καὶ σταυρός. καὶ ὅσα μὲν οὗτος ἰδεῖν, θαῦμα
ἦν, παρ᾽ ὅλην δὲ τὴν ἡμέραν ἐκείνην τοῖς τῶν βαπτισαμένων ὀφθαλμοῖς ἑω-
ρᾶτο, | τὸ δὲ πλῆθος αὐτὸ πέντε πρὸς ταῖς δέκα μυριάδας ὁ ἀκριβὴς εἶναι λό- 149
γος ἔχει. ἑπτὰ δὲ διατρίψας ὁ ἀρχιερεὺς ἐπὶ τοῦ τόπου ἡμέρας, καὶ πλῆθος
ἄλλο βαπτίσας ἀριθμοῦ κρεῖττον, εἰ δὲ χρὴ πιστεύειν τῷ εἰς πολλοὺς διαφοι-
τήσαντι λόγῳ, εἰς μυριάδας τετρακοσίας ὄντας, τῇ ὀγδόῃ ἐκεῖθεν ἀπάρας, | ἐκ- 150
κλησίας τε ἀνὰ πᾶσαν ᾠκοδόμει τὴν Ἀρμενίαν, καὶ ἱερεῖς ἐν αὐταῖς καθίστα.
|| ὑπηρετεῖτο δὲ ταῖς κοιναῖς τῶν ἐκκλησιῶν χρείαις καὶ ὁ βασιλεὺς Τηριδάτης **36**
οὔ τι μικρολόγως οὐδὲ ῥαθύμως, ἀλλὰ προσόδους τε αὐταῖς διαρκεῖς ἐπενόει,
καὶ κτήματα τῶν ὀνομαστοτάτων δαψιλεῖ τῇ χειρὶ καὶ φιλοτιμοτέρᾳ παρείχετο.
οὐ μέχρι δὲ τούτων ἵστησι τὴν ἐπιμέλειαν ὁ ἀρχιερεύς, | ἀλλὰ καὶ μουσεῖα καὶ 151
παιδευτήρια ἀνὰ πᾶσαν κατεσκευάσατο τὴν πόλιν, καὶ παιδευτὰς αὐτοῖς κατε-
στήσατο καὶ διδασκάλους, κελεύσαντος τοῦ βασιλέως, καὶ πρὸς ταῦτα τὸ μέ-
ρος συλλαβομένου καὶ τῇ τοῦ ἀρχιερέως γνώμῃ συντελέσαντος τὰ μεγάλα· κε-
κήρυκτό γε μὴν ἀνὰ τὴν πόλιν ὑπὸ τοῦ ἀρχιερέως, τοὺς τῶν Ἀρμενίων παῖ-
δας ἑκάστοτε παρ᾽ αὐτοῖς φοιτᾶν καὶ τὰ ἱερὰ παιδεύεσθαι γράμματα. | ἐντεῦθεν 152
οὐ τὴν Ἀρμενίαν μόνον τῷ τοῦ εὐαγγελίου κηρύγματι περιέλαβεν, ἀλλὰ καὶ

76 Thessalon α 5, 5 | 89 Rom 12, 13

66 vor πρῶτον + τοῦτο m | 67 erstes καὶ > m | 75 ἐλθων hat ω pr m auf Rasur in b: Accent war ῀, ist jetzt Gravis | 78 θεὸς bcm, χριστὸσ a | 80 φῶστοσ b[1], der ῀ und das erste σ jetzt radiert | 80 στύλον a | 82 σταυροσ b, wo ο (daran radiert) mit ῀ und ` zugleich: das schließende σ wohl von erster Hand später geschrieben | 82 εἶδε m | 84 ἀυτῶν b | 84/85 λόγοσ εἶναι b | 86 in a von junger Hand am Rande εἰ ὁ θεὸς ὑπὲρ ἰμῶν, τίς καθημων: jetzt verstümmelt | 90 οὔ τι abc, οὐδὲ m | 92 ἵστισι a[1] | 94 κελεύσαντος > bcm, die hinter βασιλέως kein Komma haben

Περσῶν καὶ Ἀσυρίων καὶ Οὔννων καὶ Μήδων οὐκ ὀλίγους τῷ χρηστῷ τοῦ
Χριστοῦ ζυγῷ προθύμως ὑπήγαγεν. ἀλλὰ γὰρ οὐχ ὥστε μὲν πρὸς ἐπίγνω-
σιν ἀγαγεῖν οὕτω ταχὺς ἦν. καὶ οὐδενὶ τῶν (ὡς εἰκός) συμβαινόντων δυσχερῶν
κωλυόμενος, ὥστε δὲ κακῶς πάσχουσιν ἀμῦναι, ῥᾴθυμον ἔβλεπε καὶ ἀργόν, καὶ
153 ἥττονα τὴν πρόνοιαν καὶ τὴν σπουδὴν εἰσεφέρετο. | ἀλλὰ καὶ τὰ σώματα κά-
μνουσιν ἕτοιμον τὴν ἰατρείαν ἐπήρκει, καὶ τὰς ψυχὰς νοσοῦντας ἰᾶτο, καὶ τὰς
ἐμφυλίους αὐτοῖς ἐκοίμιζε στάσεις. καὶ ἦν τοῦ αἰτῆσαι λαβεῖν τὸ φθάσαι δοῦ-
ναι τὴν θεραπείαν ὀξύτερος. καὶ τοῦτο ἐκεῖνο ὁ ποιμὴν ὁ καλὸς ὑπῆρχε, μη-
δὲ αὐτῆς ἄν, εἰ δέοι, τῆς ψυχῆς ὑπὲρ τῶν προβάτων φειδόμενος. ἀμέλει καὶ
δεσμωτήρια μὲν ἐκενοῦντο, χρεῶν δὲ διερρήγνυντο γραμματεῖα, καὶ εἰρήνης ἀ-
πέλαυεν ἡ Ἀρμενία βαθείας, καὶ ἡμερώτατα ἔζων. οὕτω τοιγαροῦν ἀπταίστως
καὶ ὁμαλῶς ὁδευούσης τῆς εὐσεβείας, καὶ ἀρετῆς ἁπάσης καὶ χάριτος περὶ
αὐτοὺς χορευούσης, πολλοὶ μὲν τὸν μονότροπον ἐπανῃροῦντο βίον, καὶ ἀσκητή-
37 ρια κατὰ διαφόρους ἱδρύοντο τόπους, καὶ τὴν ἡσυχίαν ἠσπάζοντο. || καὶ παῖδας
δὲ αὐτῶν τῶν πρότερον ἀπίστων παραλαβὼν ὁ ἱερὸς Γρηγόριος, καὶ ἀγωγῆς
ἀμείνονος καὶ παιδείας ἐμμελεστέρας ἀξιώσας, καὶ τοῦ πνευματικοῦ βίου καὶ
τῆς χάριτος μεταδούς, εἰς τοῦτο τελειότητος καὶ ἀρετῆς ἤγαγεν, ὡς καὶ εἰς
αὐτοὺς δήπου τοὺς μεγάλους τῶν ἐπισκοπῶν ἀναβιβάσαι θρόνους, καὶ τῷ μὲν
τὰ παρὰ τὸν Εὐφράτην ἐγχειρίσαι (Ἀλβῖνος ὄνομα ἦν), τῷ δὲ (Εὐθάλιος οὗ-
τος ἐκαλεῖτο) τὴν Βασηνῶν περίχωρον. καὶ τρίτος δὲ ὑπῆρχε Βάσσος. καὶ μέ-
χρι τοῦ δεκάτου προῆλθεν ὁ ἀριθμός. πολλοῖς μέντοι καὶ ἄλλοις γένους ἑτέ-
ρου ἐκκλησιῶν ἐπισκοπὴν ἀνέθετο, καὶ πάντας εἰς τετρακοσίους ἐν βραχεῖ τῷ
154 χρόνῳ γενέσθαι λέγεται. | τόν γε μὴν Ἀλβῖνον, ὅσα πρὸς ἀρετῆς ἄσκησιν ἄκρον
ὄντα, καὶ ἄλλως ἐπιεικῆ καὶ μέτριον, ἡνίκα ὁ μέγας οὗτος ἐπὶ τὰ ὑψηλότατα
τῶν Ἀρμενικῶν ὀρῶν ἀπαίρειν ἔμελλε, τῇ φίλῃ συνεσόμενος ἐρημίᾳ, τοῖς βα-
σιλείοις αὐτὸν δὴ τὸν Ἀλβῖνον ἐφίστη, ἐκεῖνα ποιεῖν ἐντελλόμενος ἅπερ ἂν καὶ
αὐτός, εἰ παρῆν. καίτοιγε πολὺς ἦν ἐν τῇ ἐκδημίᾳ μετὰ τοῦ ποιμνίου ὁ βασι-
λεὺς τῷ Γρηγορίῳ προσκείμενος, μηδαμῶς αὐτῶν μηδὲ τὸ βραχὺ διαστῆναι,
ἀλλ' ἐνίκα ὅμως ὁ τῆς ἡσυχίας ἔρως τὴν δέησιν, καὶ ἀπιέναι ὅσον οὐδέπω ἐ-
βούλετο ὅποιπερ σὺν ὀλίγοις τῶν μαθητῶν πέτραις τε ὑπογείοις οἰκήσει χρή-
σαιτο, καὶ κατ' ἰδίαν ὁμιλήσει τῷ ποθουμένῳ, μηδὲ ὀλίγα τῇ τοῦ σώματος θε-
ραπείᾳ προσασχολούμενος· ἄρτου γὰρ ἢ τῶν ἄλλως εἰς βρῶσιν ἐπιτηδείων παρ'
38 158 ὅλας τεσσαράκοντα ἡμέρας ἅπαξ ἐγεύετο. || | βασιλεὺς δὲ Τηριδάτης ὀλίγῳ ὕστε-
ρον, ἐπειδὴ τῷ Γρηγορίου χωρισμῷ ἤχθετο, καὶ βαρύτατα τὴν ἐκείνου διάστα-

99 Matth 11, 30 | 6 Ioh 10, 11

99 ἀσυρίων bc$^1$, συ von ἀσσυρίων auf Rasur c$^2$, ἀσσυρίων a, Ἀσσυρίων m | 99 ὀλίγων a | 99 χρηστῷ > b | 100 nach πρὸς vier bis fünf Buchstaben radiert a | 8 δεσμωτίρια a$^1$? | 8/9 ἀπέλαυον m | 11 ι μ von πολλοὶ μὲν von erster Hand auf Rasur b | 12 ἱδρύοντα m | 12 τὸν ἡσύχιον (nicht βίον dazu) a | 13 τῶν > m | 15 ἀρετῶν cm | 16 ἐπισκόπων m | 17 Ἀλκῖνος m | 18 μασηνῶν a, Βασινῶν m | 21 Ἀλκῖνον m | 22 μέτριων b$^1$ | 23 ἐρήμῳ m | 24 Ἀλκῖνον m | 26 προσκείμενοι bcm | 28 ὅπουπερ a, statt des Wortes sechs Punkte m | 28 τε > m | 30 προσκολλώμενος m | 30 ἄλλων am | 30 εἰς bcm, πρὸς a | 32 τῷ > b$^1$, später ergänzt | 32 χωρισμοῦ b$^1$

σιν καὶ τὴν ἀποδημίαν ἐπένθει, ἀναμαθὼν δύο παῖδας ἐξ αὐτοῦ τε καὶ γυναι-
κὸς γνησίας ἐπὶ τῆς ἐκείνου νεότητος ἔτι καὶ ἀκμῆς γεγενῆσθαι, ὧν τῷ μὲν
Ὀρθάνης ὄνομα ἦν, τῷ δευτέρῳ δὲ Ἀρωστάκης, φίλους ἀρετῆς ἄμφω καὶ φύ-
λακας εὐσεβείας, ἀλλὰ τούτοιν γε τοῖν δυοῖν παίδοιν τὸν μὲν καὶ εἰς πρε-
σβυτέρου καταλεγῆναι βαθμόν (Ὀρθάνης οὗτος ὁ πρότερος ἦν), Ἀρωστάκην δὲ
τὸν ἐρημικὸν βίον καὶ ἀκοινώνητον ἐξ αὐτοῦ γάλακτος ἔτι κομιδῆ παῖδα ἑλέ-
σθαι· μονοχίτωνά τε γὰρ ἐπὶ τῆς ἐρημίας διατρίβειν ἐλέγετο, ψύχει καὶ θάλ-
πει παλαίοντα, καὶ λάχανα σιτεῖσθαι μόνα, παννύχους δὲ στάσεις καὶ ἀγρυ-
πνίας καὶ μεθημερινὰς προσευχὰς καὶ γραφῶν θείων ὁμιλίαν ἐκ παιδὸς καὶ
ταῦτα τῷ Ἀρωστάκῃ συνηυξῆσθαι. μαθὼν οὖν ταῦτα ὁ βασιλεύς, ἐπειδὴ ἀρε-
τήν τε ἤδη καὶ οὗτος ἐτίμα, μεταμέλειά τε αὐτὸν ἐπὶ τοῖς προτέροις κακοῖς
εἶχε, καὶ δῆλος ἦν ἀπονίψασθαι ταῦτα τοῖς τελευταίοις φιλοτιμούμενος, τρεῖς
τῶν ἐπισημοτάτων ἄνδρας κατὰ ζήτησιν τῶν τοῦ Γρηγορίου παίδων πρὸς Και-
σάρειαν ἀποπέμπει. | παραγενόμενοι τοίνυν οὗτοι, καὶ τὸν μὲν ἐκκλησιάζοντα κα- 159
ταλαβόντες, τὸν δὲ τὴν ἐρημίαν φιλοσοφοῦντα, μόλις καὶ σὺν μόχθῳ τὸν Ἀρω-
στάκην πείσαντες ἄγουσι παρὰ τὸν βασιλέα. ὁ δὲ χαριέστατα τούτους καὶ σὺν
ἡδονῇ ἀποδεξάμενος, ἐκλιπαρεῖ τὸν ἱερὸν Γρηγόριον μετὰ τοῦ πλήθους καθ᾽
ἅπερ τινὰ εἰκόνα καὶ ἀρχέτυπον ἑαυτοῦ τὸν Ἀρωστάκην τούτοις καταλιπεῖν, καὶ
ἀναβιβάσαι τε αὐτὸν ἐπὶ τὸν θρόνον, καὶ τούτῳ τὴν ἀρχιερατικὴν ἀρχὴν ἐγχει-
ρίσαι. ὁ δὲ οὐ παρέργως τοῦτο ποιεῖ, ἀλλ᾽ ἐπειδὴ πᾶσαν ᾔδει τὴν ἀρετὴν ἐν
τῇ ψυχῇ τοῦ παιδὸς πεφυτευμένην, ταχέως τε αὐτῷ τὰς ἱερὰς ἐπιτίθησι χεῖρας,
καὶ χειροτονήσας τοῦτον καὶ τὴν περίχωρον αὐτῷ συμπεριελθών, καὶ τῷ λόγῳ
τῆς πίστεως ἐπὶ πλέον τούτους στηρίξας, εἰς ἣν ἐκ πολλοῦ ὤδινεν ἐρημίαν καὶ
αὖθις ἀναχωρεῖ. || |ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους καὶ Κωνσταντῖνος ὁ Κωνσταν- 162 **39**
τίου παῖς βασιλεὺς Ῥωμαίων ἀναγορεύεται, καὶ τῇ τοῦ σταυροῦ δυνάμει καὶ
τῇ ἐπὶ Χριστὸν εὐσεβείᾳ τοὺς τυράννους καταβαλών, αὐτὸς μόνος τὴν Ῥωμαίων
ἐξουσίαν καὶ τὴν ἀρχὴν περιβάλλεται. τοῦτον ἐν βασιλεῦσι καὶ Χριστοῦ μα-
θητὴν εἴποιμι ἂν ἔγωγε καὶ αὐτῆς κήρυκα εὐσεβείας, τά τε μιαρὰ τῶν δαιμό-
νων τεμένη καὶ τοὺς βωμοὺς καθελόντα, ἱερούς τε τῷ θεῷ ἀναστήσαντα οἴκους,
καὶ τὴν εἰς Χριστὸν καθαρὰν ὁμολογίαν καὶ τὸ ὀρθόδοξον δόγμα καὶ γράμμασι
βασιλικοῖς καὶ προστάγμασι τῇ ὑπὸ χεῖρα πάσῃ ἐκθέμενον, καὶ τοιαύτην ὑπὲρ 168
τῆς εὐσεβείας εἰσενεγκόντα σπουδήν, ὡς καὶ δέκα καὶ ὀκτὼ ἐπὶ τοῖς τριακοσίοις
συγκαλέσαι θείους πατέρας, καὶ τὴν ἱερὰν ἐκείνην σύνοδον συγκροτῆσαι ἐφ᾽
ᾧ τὰ ὑπαναφυέντα τε ζιζάνια ἐκτεμεῖν καὶ τοῦ τῆς ὀρθῆς πίστεως διακρῖναι σί-
του. καὶ ἦσάν γε οὗτοι, Κωνσταντῖνος καὶ Τηριδάτης, κατὰ τοὺς διαφανεῖς ἀ-

33 τὴν von erster Hand später c | 34 γεγεννῆσθαι cm | 35 ἀρωστάνησ a, ῥωστάκησ b, ἀρωστάκησ mit κ von erster Hand auf einer Rasur c: entsprechend im Accusative Zeile 37. stets Ἀρωστάνης usw m | 40 δὲ bcm, τε a | 41 θείαν a | 42 ἀρωστάνη a, ῥωστάκη b. in c ist hier alles alt | 43 ἐπὶ > c | 47 vor τὴν + ἀνὰ m | 47/48 50 ἀρωστάνην a, ῥωστάκην b. in c alles alt | 50 τούτους m | 51 τοῦτο $a^1$ | 51 ἀρχὴν > b | 52 nach ρίσαι spät über der Zeile ἀρχὴν b | 53 ἐπ᾽ für τε m | 55 ει von εἰς auf Rasur c | 56 αὐτοῦ a | 56/57 κωνσταντίνου a | 64 τῆς > a | 66 τε > a | 66/67 ίτο von σίτου in a jetzt ausgebrochen | 67 δὲ für γε a

στέρας, ὁ μὲν τὰ ἑσπέρια, ὁ Κωνσταντῖνος φημί, ὁ δὲ τὰ πρὸς ἕω περιπολοῦντες, καὶ καλὸν καὶ ἡδὺ λάμποντες. θερμότατός τε γὰρ ἦν καὶ Τηριδάτης τὴν εὐσέβειαν ἤδη καὶ οὐδενὸς τά γε εἰς νηστείαν καὶ προσευχὰς ἀπολειπόμενος, οὐδὲ αὐτῶν τῶν τὰ τοιαῦτα ἐν φροντιστηρίοις μοναχῶν ἀσκουμένων. ἐν τῇ ἱερᾷ τοίνυν ταύτῃ συνόδῳ ὤνηντό τε ἀλλήλων οἱ βασιλεῖς, καὶ τῇ τε λοιπῇ τιμῇ τὸν ἕτερον ἕκαστος ἐδεξιοῦτο, καὶ δὴ καὶ περὶ τὴν εὐσέβειαν κοινωνίᾳ τῆς γνώμης συνήδοντο. παραγίνεται μέντοι καὶ ὁ Ἀρμενίας ἀρχιεπίσκοπος Ἀρωστάκης, τοῦ βασιλέως Κωνσταντίνου τοῦτον μεταπεμψαμένου. καὶ μέρος τοῦ ἱεροῦ συλλόγου καὶ οὗτος γενόμενος, τὰ κοινῇ ψήφῳ κρατήσαντα δόγματα γεγραμμένα λαβών, εἰς τὴν ἰδίαν ἐπανήκει πόλιν, γλυκεῖά τις ὄψις καὶ ἥδιστον ἐκ τῆς ἀποδημίας τῇ ποίμνῃ ἐπιφανείς, καὶ αὐτόν τε τὸν φιλοθεώτατον βασιλέα Τηριδάτην καὶ πᾶσαν τὴν Ἀρμενίαν εὐφροσύνης ἐπὶ τῇ τῶν δογμάτων συμφωνίᾳ πληρώσας. ἃ δὴ καὶ διέμεινεν οὕτω χρόνον ἐπὶ μακρόν, τῆς εὐσεβείας ἑκάστοτε εἰς πλῆθος ἐπιδιδούσης, καὶ τοῦ τῆς εἰρήνης θεοῦ διὰ πάντων δοξαζομένου ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

81 Hebr 13, 20

68 δὲ τὸ πρὸς b | 69 γὰρ > a | 72 τοίνυν > b | 72 ὠνήσαντο ἀλλήλους m | 73 ἐδεξιοῦντο m | 73 vor περὶ + τῇ m | 73 nach τὴν + ἱερὰν b | 74 συνήδονται b | 74 ἐπίσκοπος a | 74 ἀρωστάνης a, ῥωστάκης b | 75 καταπεμψαμένου b | 77 ἀπὸ für ἐκ m | 79 ἀρμενίων a | 81 ἐνδοξαζομένου a | 82 ἅ von ἅμα ist in b da, alles Folgende fehlt | 83 τιμὴ κράτος cm

Gen 1, 14 : 23, 68
Gen 1, 27 : 19, 44
Gen 1, 28 : 19, 30
Gen 2, 1 : 32, 30
Gen 2, 17 : 19, 23
Gen 5, 24 : 19, 33
Gen 20, 2 : 37, 3
Gen 26, 7 : 37, 4
Exod 15, 5? : 18, 6
Exod 33, 20 : 24, 26
Num 6, 25 : 41, 33
Deut 32, 10 : 43, 13
Deut 32, 22 : 18, 8
Iosue 1, 8 : 86, 85
Iosue 3, 15 : 11, 53
Iosue 4, 18 : 11, 53
Regn α 17, 34 : 41, 39
Regn β 22, 3 : 99, 17
Ezdr α 19, 11? : 18, 6
Macc β 7, 28 : 15, 10 24, 14 37, 95 47, 67
Psalm 1, 2 : 86, 85
Psalm 8, 7 : 19, 45
Psalm ι 1 : 101, 88
Psalm κα 21 : 102, 36
Psalm κς 3 : 20, 59
Psalm λα 9 : 17, 52 54
Psalm λβ 14 : 42, 77
Psalm λζ 14 : 20, 92
Psalm λζ 15 : 21, 97
Psalm μγ 23 : 41, 35 45, 70 105, 33
Psalm μδ 11 : 76, 48
Psalm μδ 17 : 81, 14
Psalm μη 13 : 55, 72
Psalm μθ 14 : 98, 93
Psalm ξ 5 : 43, 14
Psalm οζ 5—8 : 87, 25
Psalm οη 13 : 42, 80
Psalm π 13 : 49, 27
Psalm πς 6 : 86, 4
Psalm ϙ 10 : 103, 56
Psalm ρα 19 : 86, 4
Psalm ρβ 13 : 112, 69
Psalm ριε 6 : 23, 2
Psalm ρκε 6 : 26, 13 97, 49
Psalm ρλα 4 : 85, 78 97, 49
Psalm ρλδ 16—18 : 17, 60
Psalm ρμδ 16? : 23, 99
Prov 3, 12 : 47, 71
Isa 1, 3 : 17, 53
Isa 8, 1 : 86, 100
Isa 30, 15 : 75, 84
Isa 40, 31 : 22, 65
Isa 42, 8 : 39, 81
Ierem 3, 22 : 87, 29
Ierem 7, 23? : 87, 30
Ierem 11, 4? : 87, 30
Ierem 13, 23 : 98, 3
Ierem 15, 14 : 18, 8
Ierem 50, 25 : 32, 11
Ezech 7, 19 : 18, 10
Daniel 7, 13 : 57, 24
Daniel 9, 25 : 18, 4
Ionas 4, 11 : 11, 64
Habacuc 2, 2 : 86, 1
Sap 2, 24 : 19, 45
Matth 5, 1—11 : 79, 31
Matth 5, 15 : 35, 40
Matth 5, 16 : 36, 44
Matth 5, 45 : 22, 31
Matth 6, 9 : 37, 11
Matth 6, 9—13 : 79, 32
Matth 6, 10 : 68, 41
Matth 6, 13 : 32, 28
Matth 6, 30 : 40, 11
Matth 7, 6 : 33, 54
Matth 7, 24 : 33, 58
Matth 7, 26 : 33, 62
Matth 8, 11 : 15, 91
Matth 10, 23 : 33, 49 101, 89
Matth 10, 28 : 21, 24
Matth 10, 39 : 25, 42
Matth 11, 28 : 73, 38
Matth 11, 30 : 18, 1 74, 39 116, 99
Matth 13, 4 : 33, 42
Matth 13, 46 : 36, 48
Matth 16, 19 : 71, 27
Matth 21, 42 : 74, 45
Matth 22, 4 : 21, 5
Matth 24, 14? : 68, 8
Matth 25, 2 : 34, 77
Matth 25, 33 : 25, 43 34, 76
Matth 26, 41 : 79, 36
Matth 26, 44 : 79, 33
Matth 26, 67 : 25, 75
Matth 28, 19 : 24, 18
Matth 28, 19? : 86, 6
Matth 28, 20 : 22, 43
Marc 9, 43 44 : 21, 26
Luc 1, 2 : 86, 11
Luc 1, 52 : 18, 2
Luc 5, 11 : 34, 81
Luc 6, 26 : 42, 88
Luc 11, 46 : 18, 11
Luc 23, 42 : 21, 28
Ioh 1, 3 : 16, 32 42, 74
Ioh 1, 36 : 25, 46
Ioh 3, 5 : 75, 88
Ioh 4, 24 43 : 84, 33
Ioh 10, 11 : 24, 7 116, 6
Ioh 11, 43 : 46, 24
Ioh 14, 2 : 25, 49 32, 36 42, 81
Ioh 14, 18 : 29, 4
Ioh 17, 5 : 19, 38
Act 1, 1 : 79, 29 42
Act 20, 28 : 21, 13 17
Act 21, 14 : 68, 41
Rom 4, 17 : 15, 10 24, 14 37, 95 47, 67
Rom 8, 26 : 79, 39 82, 37
Rom 8, 38 39 : 38, 35
Rom 8, 39 : 28, 68
Rom 12, 1 : 76, 16
Rom 12, 11 : 78, 11
Rom 12, 13 : 115, 89
Cor α 1, 23 24 : 54, 12
Cor α 2, 9 : 19, 39
Cor α 6, 19 : 21, 20
Cor α 13, 12 : 86, 96

Cor α 15, 43 : 26, 11
Cor β 1, 22 : 47, 74
Cor β 4, 16 : 99, 19
Cor β 5, 8 : 26, 92
Cor β 12, 9 : 78, 5
Cor β 12, 10 : 78, 4
Gal 3, 19 : 25, 48
Gal 4, 26 : 43, 95 59, 15
Ephes 2, 21 : 59, 22 60, 23
Ephes 4, 13 : 59, 88 61, 66 65, 11
Ephes 4, 16 : 59, 22 60, 23
Ephes 5, 2 : 76, 14
Ephes 5, 19 : 74, 68 75, 12 78, 8
Philipp 1, 23 : 104, 85
Philipp 2, 7 : 20, 69 24, 27
Philipp 3, 12 ? : 48, 94
Philipp 3, 14 : 78, 10
Philipp 4, 18 : 76, 14
Coloss 1, 28 ?? : 38, 41
Coloss 2, 18 : 55, 43
Thess α 4, 17 : 110, 4
Thess α 5, 5 : 115, 76
Tim α 2, 11 : 15, 9
Tim α 2, 15 : 82, 69
Tim α 4, 13 : 86, 86
Tim α 4, 14 : 86, 86
Tim α 4, 15 16 : 86, 87
Tim β 1, 12 : 22, 35 40, 92
Tim β 2, 19 : 32, 18
Tim β 4, 7 : 23, 95
Tit 2, 9 : 14, 66
Tit 2, 14 : 53, 70
Tit 3, 4 : 69, 64 84, 16
Petr α 2, 6 : 33, 58
Petr α 2, 7 : 74, 45
Petr α 2, 9 : 48, 100
Petr α 5, 11 : 54, 33
Petr β 1, 19 : 19, 51
Hebr 1, 1 : 20, 61
Hebr 1, 12 : 39, 80
Hebr 4, 12 : 97, 73
Hebr 11, 6 : 15, 82 22, 57
Hebr 11, 16 : 42, 81
Hebr 11, 38 : 79, 51
Hebr 13, 7 : 73, 34
Hebr 13, 20 : 118, 81
Hebr 13, 21 : 87, 30
Apoc 1, 4 : 20, 74

Die Reise, auf der ich in Rom die drei Handschriften der Akten des Gregor von Armenien abgeschrieben, und in Florenz die einzige bis jetzt bekannte Handschrift des Agathangelus neu verglichen habe, ist mir, dem Preußen, durch die englischen, irischen uud schottischen Gönner ermöglicht worden, denen ich in der Vorrede zur Pars prior Lucians und zu den Aegyptiaca sowie in meinen Mittheilungen 1 242 gedankt habe. Ihnen sei auch hier die Ehre. Vergleiche auch meine Mittheilungen 2 288 und die zweite Ausgabe meiner Onomastica sacra vj.

*Im Drucke beendet am 31 Januar 1888.*

# ZOBODAT - www.zobodat.at

Zoologisch-Botanische Datenbank/Zoological-Botanical Database

Digitale Literatur/Digital Literature

Zeitschrift/Journal: Abhandlungen der königlichen Gesellschaft der Wissenschaften zu Göttingen

Jahr/Year: 1889

Band/Volume: 35

Autor(en)/Author(s): Lagarde Paul de

Artikel/Article: Die Akten Gregors von Armenien. 89-120